<36633415650016

<36633415650016

Bayer. Staatsbibliothek

Bibl. Lipp. N: 3808.

~~Theodorus Cloes~~

~~Etudiant de la Poesie~~

1798.

~~7447~~

L. gr. 101

Griechisches Lesebuch für die ersten Anfänger

Herausgegeben
von
Friedrich Gedike
Königl. Preußischem Oberkonsistorialrath und Direktor des Friedrichswerderschen Gymnasiums zu Berlin.

Vierte verbesserte und vermehrte Auflage.

Mit Churfürstl. Sächsischer Freiheit.

Berlin,
bei August Mylius
Buchhändler in der Brüderstraße
1787.

(Der Preis ist 8 Gr.)

Bayerische
Staatsbibliothek
MÜNCHEN

Vorrede
zur ersten Auflage.

Das Bedürfnis des unter meiner Aufsicht stehenden Gymnasiums hat dis Buch veranlaßt, das bei der großen Menge von griechischen Chrestomathien manchem beim ersten Anblik überflüssig scheinen wird. Ich wünschte für unsre letzte griechische Klasse ein anziehendes, unterhaltendes, nicht zu schweres, und nicht zu theures Lesebuch. Denn die Anfänger, es sei in welchem Sprachunterricht es wolle, bloß mit Grammatik, oder auch nur hauptsächlich zu beschäftigen, ist abscheulich und wenigstens eben so widersinnig als gewöhnlich. Ich fand Schriftsteller und Sammlungen genug, die eine oder mehrere jener Erfordernisse eines für die ersten Anfänger nützlichen Lesebuchs besaßen, aber keine, die sie alle in sich vereinigten. So ward mein Wunsch — Entschluß, selbst ein solches Buch zu sammlen. Aber so leicht ich mir anfänglich die Ausführung vorstellte, so schwierig fand ich sie nachher. Viele alte Schriftsteller, in denen ich mir eine reiche Ausbeute versprach, täuschten meine Hofnung. Mehr als einen Autor las ich vergebens durch, ohne

etwas in meinen Plan passendes zu finden, und auch die, aus denen ich etwas aushob, ließen mich oft lange genug suchen.

Gleich einen ganzen griechischen Schriftsteller mit dem Anfänger zu lesen, scheint mir auf keine Weise rathsam. Auch weiß ich keinen, der hintereinander weggelesen für den Anfänger Interesse genug hätte; vorausgesezt, daß dieser Anfänger noch Knabe und nicht etwa ein schon erwachsener Jüngling oder Mann ist, mit dem ich selbst gleich einen ganzen Schriftsteller zu lesen anfangen würde. Das Knabenalter verlangt nirgends mehr als beim Sprachunterricht Abwechselung; der junge Lehrling ermüdet, wenn er nicht das Ziel seines Strebens nahe vor sich sieht, und eben darum ist ein Buch, das aus lauter kurzen Abschnitten besteht, deren jeder doch ein für sich bestehendes Ganze ausmacht, weit nützlicher und unterhaltender für ihn, als eine lange, ohne sehr merkliche Ruhepunkte fortlaufende Schrift, sie mag nun Erzälung, oder — was für den Anfänger unendlich ermüdender und zurükschrekkender ist — Räsonnement sein.

Freilich hat man griechische Chrestomathien in Menge. Aber die meisten sorgen für die Bedürfnisse des schon weiter gekommenen Lehrlings, wenige nur für den ersten Anfänger. Herr Kirchenrath Stroth hat in seiner Chrestomathie für beide gesorgt, und ich würde mir es nicht haben in den Sinn kommen lassen, diesem ungemein schätzbaren und nützlichen Buche meines Freundes ein neues an die Seite zu setzen, wenn nicht der Preis von jenem für gewöhnliche Schulen, wo Kinder reicher und armer Eltern durcheinander un-

ter-

terrichtet werden, zu hoch wäre. Viele andre Sammlungen haben den großen Fehler, daß sie theils ohne gehörige Auswahl und ohne psychologische Kenntnis des Knabenalters gemacht sind, theils nur bloßen Text liefern, ohne ein die Präparation erleichterndes Hülfsmittel, ich meine ohne deutsche Erklärung der griechischen Wörter. Und doch ist dis leztre durchaus nöthig, weil der angehende Lehrling im Griechischen äußerst selten schon ein Wörterbuch hat, und, wenn er es hat, meistentheils auch im Lateinischen noch zu weit zurük ist, um ein griechisch-lateinisches Lexikon mit Nutzen und Vergnügen gebrauchen zu können. Ueberhaupt würden griechisch-deutsche Wörterbücher den Unterricht im Griechischen außerordentlich erleichtern. Es ist sehr augenscheinlich, was für schiefe Begriffe häufig in den Kopf des Lehrlings von der Bedeutung dieses oder jenes griechischen Wortes kommen müssen, wovon er eine nicht selten nur unadäquate lateinische Erklärung liest, die er nun erst wieder in eine eben so wenig oder noch weniger erschöpfende deutsche sich übersetzen muß.

Die Zwekke, die ich mir bei Zusammentragung dieses Lesebuchs vorsetzte, waren:

1. **Interesse und Unterhaltung für die Knabenseele.** Dieser Zwek kann nicht durch bloße moralische Sentenzen erreicht werden. Sie mögen immerhin leicht sein, sie haben nichts anziehendes für das Knabenalter. Sie behalten immer ein zu finstres Ansehen für den noch zu wenig an ernsthaftes Denken gewöhnten Lehrling, als daß ihre Lesung die Lernbegier in irgend einer Sprache reizen und unterhal-

ten könnte. Noch weniger schikt sich aneinanderhängendes Räsonnement für dis Alter. Erzälungen sind das einzige, was für dasselbe Reiz hat. Ich habe diesen Reiz öfters durch die Ueberschriften zu verstärken und die Neugier des Lehrlings rege zu machen gesucht.

2. **Leichtigkeit.** Manche schöne Erzälung aus dem Plutarch und vielen andern Schriftstellern mußte bloß darum zurükbleiben, weil sie mir zu schwere Wendungen und zu viel Idiotismen zu enthalten schien. Dis ist zugleich der Hauptgrund, warum ich aus manchem Schriftsteller, der sonst mit meinen übrigen Absichten allenfalls harmonirt hätte, nichts entlehnt habe.

3 **Kürze und Abwechselung.** Der Anfänger ermüdet gar zu leicht, wenn er ein zu langes ununterbrochenes Pensum vor sich sieht, und nichts ist so sehr im Stande, ihn stets aufmerksam zu erhalten, als häufige Abwechselung, für die man nicht bloß in dem Formellen oder in der Methode, sondern auch in dem Materiellen nicht genug sorgen kann.

4. **Moralische Bildung.** Zu dem Ende habe ich vorzüglich viel solche Geschichten ausgesucht, die ein geschikter Jugendlehrer, der nicht bloß den Kopf oder wol gar nur das Gedächtnis seiner Schüler bearbeiten will, sehr gut nutzen kann, um gelegentliche und eben dadurch desto stärkere Eindrükke auf das Herz seiner Lehrlinge zu machen. Viele Erzälungen dienen freilich unmittelbar mehr zur Unterhaltung als moralischen Bildung. Indessen hab ich wenigstens überall alles Unsittliche und auch nur von weitem Anstößige zu vermeiden gesucht.

5. Gele-

5. Gelegentliche Beförderung des Erlernens und Wiederholens vieler nützlichen und nothwendigen historischen Kenntnisse. Nichts vergißt ein junger Mensch eher, als was er in der eigentlichen, grade nur zu diesem Zwek bestimmten, Lehrstunde gelernt; nichts behält er leichter, als was er nur gelegentlich bei einer andern Lektion gehört.

6. Erleichterung der Vorbereitung und Wiederholung. Hiezu dient das Register, das, seiner Bestimmung für die ersten Anfänger gemäß, alle Wörter ohne Ausnahme, selbst καὶ und δὲ, enthalten mußte. Auch die Eigennamen von Nationen, Städten, Personen, u. s. w. sind darin befindlich, nur solche nicht, die im Text selbst hinlänglich erklärt werden. Zum bequemern Gebrauch des Registers hab ich unter jede Erzälung bei den schwerern unkenntlichen Abänderungen, vornehmlich der Zeitwörter, das eigentliche Thema untenhingesetzt, weil sonst der Lehrling, der in den Abänderungen der Wörter noch nicht erfahren genug ist, leicht ungeduldig werden und sehr häufig vergeblich suchen würde. Doch wollt' ich die deutsche Erklärung lieber in ein Register zusammentragen, als sie unter den jedesmaligen Text setzen, um die Selbstthätigkeit des Lehrlings mehr in Athem zu erhalten, ohne ihm die Sache weder zu leicht, noch zu schwer zu machen. Alles, was der Anfänger bei seiner Vorbereitung im Index nicht gesucht haben würde, hab' ich ebenfalls gleich unter den Text gesetzt. Ich wäre übrigens gern noch ausführlicher bei der Erklärung der Wörter im Register gewesen, hätte gern die Bedeutungen noch mehr auf Etymologie (eine so nöthige, den Sprachunterricht so sehr erleichternde, und doch von den mei-

sten Lehrern fast ganz vernachläßigte Sache) zurükgeführt, noch mehr schwerere Abänderungen eines Worts analysirt, wenn ich nicht in Ansehung des Raumes hätte so sparsam als möglich sein wollen. Wer übrigens je eine ähnliche mühsame Arbeit versucht hat, wird sich nicht wundern, wenn er etwa ein und das andre Wort oder eine Bedeutung vermissen sollte, wiewol ich gewiß bin, daß dergleichen Auslassungen nur wenige sind, da ich für jeden Buchstaben besonders den ganzen Text durchgelesen.

In Ansehung der Akcente hab ich zwar meine mehrmals vorgetragne Ueberzeugung nicht geändert; doch habe ich in einem Elementarbuche lieber dem Vorurtheil nachgeben, als durch Beleidigung desselben den ausgebreitetern Nutzen meines Buchs hindern wollen. Denn daß dis Buch mit Nutzen beim ersten griechischen Sprachunterricht gebraucht werden kann, davon kann ich, wie mir deucht, ohne Vorwurf des Eigendünkels überzeugt sein. In der That wird es eine große Freude für mich sein, wenn ich mit diesem Schulbuch etwas dazu beitrage, die Liebe für das Studium der griechischen Litteratur hie und da zu erregen und zu unterhalten. Auch der Herr Verleger hat durch einen sehr billigen Preis dis Buch zum Schulunterricht zu empfehlen gesucht. Berlin den 8ten November 1781.

Vor-

Vorrede
zur zweiten Auflage.

Der Beifall, womit das Publikum dis Schulbuch anfgenommen, hat meine Erwartungen und Wünsche bei weitem übertroffen. Der schnelle Absatz der ersten starken Auflage und die Einführung dieses Buchs in so sehr viele öffentliche Schulen ist für mich ein sehr ehrenvoller und aufmunternder Beweis von dem Zutrauen des Publikums gewesen. Um so eher darf ich glauben, meine Absicht der deutschen Jugend den griechischen Elementarunterricht zu erleichtern und angenehm zu machen, nicht ganz verfehlt zu haben.

Diese neue Auflage hat theils Zusätze theils Verbesserungen erhalten. Die beiden letzten Abschnitte aus dem Lukian und Herodot sind neu hinzugekommen. In den Anmerkungen und im Wortverzeichnis habe ich manches theils berichtigt theils bestimmter ausgedrükt. Der Abdruk des

Textes ist korrekter als bei der ersten Auflage, welches ich der freundschaftlichen Bemühung meines Kollegen des Herrn Konrektor Weißer danke, der auch die Mühe über sich genommen, die in den hinzugekommnen Abschnitten enthaltnen und noch nicht im Wortverzeichniß befindlichen Wörter nachzutragen. Daß ich in diesem Verzeichnis auch itzt nicht, wie man zum Theil gewünscht, bei den verschiednen Bedeutungen Eines Worts die Stellen citirt, wo es in dieser und wo es in jener Bedeutung vorkäme, hat nicht nur Ersparung des Raums zur Ursache, sondern ich glaubte auch, daß es eine nicht unschikliche Uebung des Scharfsinns und der Beurtheilung für junge Leute wäre, sie unter den mehrern Bedeutungen die zu einer gewissen Stelle passende herausfinden zu lassen.

Von meinem nach gleichem Plan eingerichteten lateinischen Lesebuche wird ebenfalls in kurzem eine neue Auflage herauskommen, welches ich darum hier anzeige, um damit zugleich vor einem in Darmstadt in der dasigen Hofbuchdrukkerei erschienenen unrechtmäßigen Nachdruk zu warnen. Berlin den 1sten Mai 1783.

Vor=

Vorrede

zur dritten und vierten Auflage.

Bei dieser neuen Auflage sind bloß einige leichte Lieder aus dem Anakreon hinzugekommen. Bei einer künftigen Auflage werde ich vielleicht noch einige andre leichte poetische Stükke hinzufügen, so wie ich überhaupt fortgesezt dafür sorgen werde, dis Schulbuch des allgemeinen Beifalls würdig zu erhalten, den es bisher gefunden. Berlin den 14ten April 1785.

Diese vierte Auflage ist ein nur in Kleinigkeiten veränderter Abdruk der dritten Auflage. Hauptveränderungen und Zusäze zu machen, dazu fehlte mir es izt an Zeit. Destomehr Zeit hoffe ich für die nächstkünftige Auflage gewinnen zu können. Berlin den 10ten April 1787.

Kurze Nachricht von den Schriftstellern,

aus welchen dis Lesebuch zusammengetragen worden.

1.

Hierokles lebte gegen das Ende des fünften Jahrhunderts nach Christi Geburt, und lehrte zu Alexandrien in Aegypten, dem damaligen Sitze griechischer Gelehrsamkeit, die Philosophie mit vielem Beifall. Wir haben noch zwei philosophische Schriften von ihm, eine Auslegung der unter des Pythagoras Namen bekannten goldnen Sprüche, und eine (doch nur auszugsweise vorhandne) Schrift über die göttliche Vorsehung. Die im Lesebuch abgedrukten Histörchen sind aus einer kleinen Sammlung witziger Einfälle und Geschichten entlehnt, die im Griechischen den Namen Ἀστεῖα (Schnurren) führen. Doch ist ungewis, ob der Verfasser dieser Sammlung eben der Philosoph Hierokles, oder ein unbekannter Mann desselben Namens ist. Das leztere ist fast wahrscheinlicher.

2. Aesopus lebte zur Zeit der Könige Kyrus und Krösus, also ohngefähr 600 Jahr vor Christi Geburt. Er war aus Phrygien in Asien gebürtig, und anfänglich ein Sklave. Seine Geschichte ist mit vielen Märchen verbrämt, wohin vielleicht selbst die gewöhnliche Meinung von seiner häßlichen Gestalt gehört. Seine Methode, politische und moralische Weisheit in Fabeln einzukleiden, und dadurch seinen Lehren mehr Eingang und Eindruk zu verschaffen, hat ihn berühmt gemacht. Doch hat er seine Fabeln nicht selbst aufgeschrieben, sondern, nachdem sie sich durch Tradition fortgepflanzt, sind sie erst in spätern Zeiten von andern Schriftstellern gesammlet und aufgezeichnet worden, daher sich unter den Aesopischen Fabeln freilich auch viele befinden, deren Erfindung selbst einem andern gehört, und die nur darum

um Aesopische heißen, weil Aesopus der erste war, der diese Einkleidung der Moral in Ansehn brachte. So ist unter den hier abgedrukten Aesopischen Fabeln S. 15 die Fabel von den Schafen und dem Hunde aus Xenophons Denkwürdigkeiten von seinem Lehrer Sokrates (der ohngefähr 400 Jahr vor Christi Geburt lebte) entlehnt. Und S. 16 ist die Fabel von den tanzenden Affen aus dem Lukian genommen, einem witzigen Schriftsteller des 2ten Jahrhunderts nach Christi Geburt.

3. Aelian lebte in der ersten Hälfte des dritten Jahrhunderts nach Christi Geburt. Er war kein geborner Grieche, sondern ein Römer, aus der Stadt Präneste in Italien gebürtig. Indessen legte er sich mit solchem Fleiß auf die Griechische Sprache, daß er darin so gut als ein geborner Grieche zu schreiben im Stande war. Die hier abgedrukten Erzälungen sind aus seinem Buche, das den Titel führt: Ποικιλαι Ἱςοριαι (Mannigfaltige Geschichten) entlehnt. Wir haben außerdem von ihm noch eine Thiergeschichte, worin er allerlei Merkwürdigkeiten von Thieren, doch ohne Plan und Ordnung, erzählt.

4. Polyän, ein Makedonier von Geburt, lebte in der 2ten Hälfte des 2ten Jahrhunderts n. C. G. Wir haben von ihm eine Sammlung von Kriegsgeschichten, worinn er hauptsächlich die Kriegslisten berühmter griechischer und römischer Feldherrn beschreibt.

5. Diogenes Laertius ist in Ansehung seiner Lebensumstände sehr unbekannt. Es ist sogar ungewis, woher er den Beinamen Laertius führt, ob von seinem Vater, oder von seiner Vaterstadt, in welchem leztern Fall man annimmt, daß er aus Laerte, einer Stadt in Cilicien (einer Provinz von Kleinasien) gebürtig sei. Auch sein Zeitalter ist ungewis. Wahrscheinlich lebte er entweder im 2ten oder 3ten Jahrhundert n. C. G. Wir haben von ihm eine Geschichte der berühmtesten alten Philosophen Griechenlands, worin er nicht nur von ihren Lehren, sondern auch

von

von ihrem Leben ziemlich ausführliche, aber sehr unzusammenhängende und nicht immer ganz glaubwürdige Nachrichten liefert.

6. Simplicius war ein griechischer Philosoph des 6ten Jahrhunderts n. C. G. und hat Auslegungen über Schriften des Aristoteles und des Stoiker Epiktets geschrieben.

7. Plutarch, einer der berühmtesten Schriftsteller des Alterthums, lebte im ersten Jahrhundert n. C. G. Er war zu Chäronea in Böotien geboren und stand in großem Ansehn bei den Kaisern Trajan und Hadrian, die ihn auch zu hohen Ehrenämtern beförderten. Trajan ernannte ihn zum Statthalter von Illyricum, und Hadrian zum Statthalter von Griechenland. Wir haben noch sehr viele Schriften von ihm z. E. 44 Parallelbiographien, oder Lebensbeschreibungen von berühmten Männern Griechenlands und Roms, deren er immer zwei, einen Griechen und einen Römer, neben einander stellt, und nach Erzälung ihres Lebens sie miteinander vergleicht. Außerdem haben wir von ihm eine große Menge längerer und kürzerer Schriften philosophischen besonders moralischen Inhalts. Die hier abgedrukten Erzälungen sind theils aus diesen, theils vornehmlich aus seinen Biographien entlehnt.

8. Athenäus ein greichischer Grammatiker aus Naukratis in Egypten, lebte im Anfange des 3ten Jahrhunderts n. C. G. Wir haben von ihm ein Buch unter dem Titel Δειπνοσοφιςαι oder das Gastmal der Gelehrten, die sich über allerlei grammatische, historische, antiquarische Materien besprechen.

9. Strabo ein Kappadocier lebte unter den Kaisern August und Tiberius. Seine Reisen durch den größten Theil der damals bekannten Erde setzten ihn in den Stand, eine allgemeine Geographie zu schreiben.

10. Stobäus (oder richtiger Johannes von Stobi, einer Makedonischen Stadt) lebte im 5ten oder 6ten Jahrhundert n. C. G.

C. G. Er war bloß Kompilator, der aus vielen, theils poetischen, theils prosaischen Schriften Auszüge und Excerpte zusammenschrieb, die in zwei besondern Sammlungen auf uns gekommen.

11. Vaterland und Zeitalter des Sextus Empirikus sind ungewis. Er war ein eifriger Anhänger der Pyrrhonistischen oder skeptischen d. i. zweifelnden Philosophie, welche er in zwei noch vorhandnen Werken vorgetragen, wovon das eine ein kurzer Entwurf der Pyrrhonischen Philosophie, das andre eine polemische Schrift gegen die Mathematiker (d. i. gegen die gewisheitlehrenden Philosophen) ist. Die hier abgedrukte Sittenvergleichung ist aus dem erstern Werke genommen.

12. Diodor aus Sicilien, lebte zu Cäsars und Augustus Zeiten. Er schrieb unter dem Titel einer Bibliothek eine Universalgeschichte, von der aber mehr als die Hälfte verloren gegangen.

13. Dionysius aus der Karischen Stadt Halikarnas in Kleinasien gebürtig, lebte ohngefähr um dieselbe Zeit mit dem Diodor. Durch seinen vieljährigen Aufenthalt in Rom ward er in den Stand gesetzt, eine Geschichte Roms zu schreiben, der er den Titel: Ρωμαϊκὴ Ἀρχαιολογία (Römische Alterthümer) gab. Sie gieng vom Ursprunge Roms bis auf den ersten Punischen Krieg, ist aber nicht ganz auf uns gekommen. Außerdem hat er verschiedene kleinere Schriften rhetorischen und kritischen Inhalts geschrieben.

14. Apollodor aus Athen, lebte ohngefähr 140 Jahr vor Christi Geburt. Wir haben von ihm ein Mythologisches Buch unter dem Namen einer Bibliothek, worin er die Griechische Mythologie und Fabellehre, vom Ursprunge der Nationalgötter Griechenlands an bis auf die Zeiten des Trojanischen Kriegs, erzählt.

15. Lukian war geboren zu Samosata in Syrien, und lebte im zweiten Jahrhunderte nach C. G. unter der Regie-

rung

rung der Antoninen. Wir haben von ihm noch viele satyrische Schriften, unter andern auch Göttergespräche und Todtengespräche.

16. Herodot der älteste griechische Geschichtschreiber war geboren zu Halikarnas in Karien, einer Provinz von Kleinasien. Er lebte ohngefähr 500 Jahr vor Christi Geburt, und schrieb auf Veranlassung der Kriege der Griechen und Perser eine Geschichte, worin er außer der Geschichte der Griechen auch die der Perser und Egypter und beiläufig mehrerer anderer Völker erzählt. Diese Geschichte ist im Jonischen Dialekt geschrieben.

17. Anakreon war zu Teos einer Stadt in Jonien geboren, und lebte ohngefähr 530 Jahr vor Christi Geburt. Man hat von ihm noch eine Sammlung kleiner scherzhafter und tändelnder Lieder.

Bayerische
Staatsbibliothek
MÜNCHEN

I.

Histörchen aus dem Hierokles.

1.

Σχολαστικὸς κολυμβᾷν βουλόμενος παρὰ μικρὸν [1] ἐπνίγη [2]. ὤμοσεν [3] οὖν μὴ ἅψασθαι [4] ὕδατος [5], ἐὰν μὴ πρῶτον μάθῃ [6] κολυμβᾷν.

1 beinahe. 2 von πνίγω. 3 von ὄμνυμι. 4 von ἅπτομαι. 5 von ὕδωρ. 6 von μανθάνω.

2. Σχολαστικὸς νοσοῦντα [1] ἐπισκεπτόμενος ἠρώτα [2] περὶ τῆς ὑγιείας. Ὁ δὲ οὐκ ἠδύνατο [3] ἀποκριθῆναι [4]. ὀργισθεὶς [5] οὖν ἐξήλεγξεν [6]. ἐλπίζω κἀμὲ [7] νοσῆσαι [8], καὶ ἐλθόντι [9] σοι μὴ ἀποκριθῆναι.

1 von νοσέω. 2 von ἐρωτάω. 3 von δύναμαι. 4 von ἀποκρίνομαι. 5 von ὀργίζω. 6 ἐξελέγχω. 7 zusammengezogen statt καὶ ἐμὲ. 8 νοσέω. 9 ἔρχομαι.

3. Σχολαστικὸς, ἰατρῷ συναντήσας [1], συγχώρησόν [2] μοι, εἶπε [3], καὶ μή μοι μέμψῃ [4], ὅτι οὐκ ἐνόσησα [5].

1 συναντάω. 2 συγχωρέω. 3 ἔπω. 4 μέμφομαι. 5 νοσέω.

4. Σχολαστικὸς θέλων τὸν ἵππον αὐτοῦ διδάξαι [1] μὴ τρώγειν πολλὰ [2], οὐ παρέβαλεν [3] αὐτῷ τροφάς.

Ἀποθανόντος[4] δὲ τοῦ ἵππου τῷ λιμῷ, ἔλεγε· Μέγα ἐζημιώθην[5]· ὅτε γὰρ ἔμαθε[6] μὴ τρώγειν, τότε ἀπέθανε[7].

1 διδάσκω. 2 πολύς. 3 παραβάλλω. 4 ἀποθνήσκω. 5 ζημιόω. 6 μανθάνω. 7 ἀποθνήσκω.

5. Σχολαστικὸς Σχολαστικῷ συναντήσας εἶπεν[1]· ἔμαθον ὅτι ἀπέθανες. κἀκεῖνος[2]· ἀλλ' ὁρᾷς με ἔτι, ἔφη,[3], ζῶντα[4]· καὶ ὁ Σχολαστικὸς[5]· καὶ μὴν ὁ εἰπών μοι πολλῷ σοῦ ἀξιοπιστότερος ὑπάρχει.

1 ἔπω. 2 zusammengezogen statt καὶ ἐκεῖνος. 3 φημί. 4 ζάω. 5 nehmlich ἔφη, das wie das lateinische dixit öfters ausgelassen wird.

6. Σχολαστικὸς μαθὼν[1], ὅτι ὁ κόραξ ὑπὲρ τὰ διακόσια ἔτη ζῇ[2], ἀγοράσας[3] κόρακα εἰς ἀπόπειραν ἔτρεφε.

1 μανθάνω. 2 ζάω. 3 ἀγοράζω.

7. Διδύμων ἀδελφῶν εἷς ἐτελεύτησε[1]. Σχολαστικὸς οὖν ἀπαντήσας τῷ ζῶντι[2] ἠρώτα· σὺ ἀπέθανες[3] ἢ ὁ ἀδελφός σου;

1 τελευτάω. 2 ζάω. 3 ἀποθνήσκω.

8. Σχολαστικὸς, ποταμὸν βουλόμενος περάσαι[1], ἀνῆλθεν[2] ἐς τὸ πλοῖον ἔφιππος· πυθομένου[3] δέ τινος τὴν αἰτίαν, ἔφη, σπουδάζειν.

1 περάω. 2 ἀνέρχομαι. 3 πυνθάνομαι.

II.

Aesopische Fabeln.

1. ΓΥΝΗ ΚΑΙ ΟΡΝΙΣ.

Γυνή τις χήρα ὄρνιν εἶχε [1], καθ᾿ ἑκάστην ἡμέραν ὠὸν αὐτῇ τίκτουσαν. Νομίσασα [2] δὲ, ὡς, εἰ πλείους [3] τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται [4] τῆς ἡμέρας, τοῦτο πεποίηκεν [5]. Ἡ δ᾿ ὄρνις, πιμελὴς γενομένη [6], οὐδ᾿ ἅπαξ τῆς ἡμέρας τεκεῖν [7] ἠδύνατο [8].

Ὁ μῦθος δηλοῖ [9], ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες [10] καὶ τὰ παρόντα [11] ἀποβάλλουσι.

1 ἔχω. 2 νομίζω. 3 statt πλείονας. 4 τίκτω. 5 ποιέω. 6 γίνομαι. 7 τίκτω. 8 δύναμαι. 9 δηλόω. 10 ἐπιθυμέω. 11 πάρειμι.

2. ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ.

Ἀλώπηξ μήπω θεασαμένη [1] λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε [2], τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη [3], ὡς μικροῦ καὶ ἀποθανεῖν [4]. Ἔπειτα, τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάῤῥησεν [5], ὡς καὶ προσελθοῦσα [6] διαλεχθῆναι [7].

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

1 θεάομαι. 2 συναντάω. 3 φοβέομαι. 4 ἀποθνήσκω. 5 καταθαῤῥέω. 6 προσέρχομαι. 7 διαλέγομαι.

3. ΛΕΩΝ ΚΑΙ ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων, καὶ ὄνος, καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον [1] πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης [2], προσέταξεν [3] ὁ λέων τῷ ὄνῳ, διελεῖν [4] αὐτοῖς. Ὁ δὲ τρεῖς μερίδας [5] ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι [6] τούτους προυτρέπετο [7] Καὶ ὁ λέων θυμωθεὶς [8] τὸν ὄνον κατέφαγεν [9]. Εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν [10]. Ἡ δ', εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπε [11]. Καὶ ὁ λέων πρὸς αὐτὴν [12]· Τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν [13]; ἡ δ' εἶπεν· ἡ τοῦ ὄνου συμφορά.

Ὁ μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

1 ἐξέρχομαι. 2 συλλαμβάνω. 3 προστάσσω. 4 διαιρέω. 5 μερὶς. 6 ἐκλέγω. 7 zusammengezogen statt προετρέπετο von προτρέπω. 8 θυμόω. 9 καταφάγω. 10 κελεύω. 11 καταλείπω. 12 nehmlich ἔφη. 13 διδάσκω.

4. ΚΥΩΝ.

Κύων κρέας φέρων ποταμὸν διέβαινε. Θεασάμενος [1] δὲ τὴν ἑαυτοῦ σκιὰν ἐπὶ τοῦ ὕδατος [2], ὑπέλαβεν [3], ἕτερον κύνα εἶναι [4] κρέας κατέχοντα· καὶ ἀφεὶς [5] τὸ ἴδιον, ὥρμησε [6] τὸ ἐκείνου λαβεῖν. ἀπώλεσε [7] δὲ ἀμφότερα· τὸ μὲν οὖν οὐκ ἦν [8]· ὃ δὲ κατεῖχεν [9], ὑπὸ τοῦ ῥεύματος κατεσύρετο [10].

Ὁ μῦθος πρὸς τοὺς πλεονεκτοῦντας, οἵτινες, πλειστέρων ἐπιθυμοῦντες, καὶ ἃ ἔχουσι προσαπολλῦσιν.

1 θεάομαι

1 θεάομαι. 2 ὕδωρ. 3 ὑπολαμβάνω. 4 εἰμί. 5 ἀφίημι. 6 ὁρμάω. 7 ἀπόλλυμι. 8 εἰμί. 9 κατέχω. 10 κατασύρω.

5. ΠΗΡΑΙ ΔΥΟ.

Αἴσωπες ἔφη, δύο πήρας ἕκασον ἡμῶν ἐπιφέρειν, τὴν μὲν ὄπισθεν, τὴν δὲ ἔμπροσθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι * τὰ τῶν ἄλλων ἀνθρώπων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν.

* nehmlich ἡμᾶς, von ἀποτίθημι.

6. ΓΥΝΗ ΚΑΙ ΘΕΡΑΠΑΙΝΑΙ.

Γυνὴ χήρα φιλεργὸς, θεραπαινίδας ἔχουσα ταύτας εἰώθει [1] νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρέμεναι ἔγνωσαν [2], δεῖν [3] τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνε νύκτωρ ἐξανίσαντος [4] τὴν δέσποιναν. Συνέβη [5] δ' αὐταῖς, τἔτο διαπραξαμέναις [6], χαλεπωτέροις περιπεσεῖν [7] τοῖς δεινοῖς. Ἡ γὰρ δεσπότις, ἀγνοῦσα [8] τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίση.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βελεύματα κακῶν αἴτια γίνεται.

1 von ἔθω. 2 γινώσκω. 3 δεῖ. 4 ἐξανίσημι. 5 συμβαίνω. 6 διαπράσσω. 7 περιπίπτω. 8 ἀγνοέω.

7. ΤΕΤΤΙΞ ΚΑΙ ΜΥΡΜΗΚΕΣ [1].

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων [2] οἱ μύρμηκες ἔψυχον· τέττιξ δὲ λιμώττων ᾔτει [3] αὐτὲς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· διατί τὸ θέρος

ȣ συνῆγες[4] τροφὴν; ὁ δὲ εἶπεν· ȣ̓κ ἐσχόλαζον, ἀλλ᾽ ᾖδον[5] μȣσικῶς. Οἱ δὲ γελάσαντες[6] εἶπον· ἀλλ᾽ εἰ θέρȣς ὥραις ηὔλεις[7], χειμῶνος ὀρχȣ̃[8].

Οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ[9] καὶ κινδυνεύσῃ.

1 μύρμηξ. 2 βρέχω. 3 αἰτέω. 4 συνάγω. 5 ᾄδω. 6 γελάω. 7 αὐλέω. 8 ὀρχέομαι. 9 λυπέω.

8. ΓΕΡΩΝ ΚΑΙ ΘΑΝΑΤΟΣ.

Γέρων ποτὲ ξύλα κόψας[1], ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε[2], καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος[3] ἐν τόπῳ τινὶ τὸν φόρτον, τὸν θάνατον ἐπεκαλεῖτο[4]. Τȣ̃ δὲ θανάτȣ παρόντος[5], καὶ πυνθανομένȣ τὴν αἰτίαν, δι᾽ ἣν αὐτὸν ἐκάλει, δειλιάσας[6] ὁ γέρων ἔφη· ἵνα μȣ τὸν φόρτον ἄρῃς[7].

Πᾶς ἄνθρωπος φιλόζωος[8], εἰ καὶ δυςυχεῖ καὶ πτωχός ἐςιν.

1 κόπτω. 2 βαδίζω. 3 ἀποτίθημι. 4 ἐπικαλέω. 5 πάρειμι. 6 δειλιάζω. 7 αἴρω. 8 fcil. ἐςί.

9. ΓΕΩΡΓΟΣ ΚΑΙ ΠΑΙΔΕΣ[1] ΑΥΤΟΥ.

Ἀνήρ τις, τέχνῃ γεωργὸς, μέλλων καταλῦσαι[2] τὸν βίον, καὶ βουλόμενος τȣ̀ς παῖδας αὐτοῦ ἐμπείρους ποιῆσαι τῆς γεωργικῆς, προσκαλεσάμενος[3] εἶπεν αὐτοῖς· τέκνα, ἐγὼ τοῦ βίου ὑπεξίσαμαι· πλὴν ἅπερ ὑπάρχει μοι, ἐν τῷ ἀμπελῶνι εὑρήσετε. Οἱ δὲ νομίσαντες[4], θησαυρὸν ἔχειν ἐκεῖσε, μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς[5] αὐτῶν, λαβόντες[6] δικέλλας καὶ ἀξίνας κατέσκαπτον πᾶσαν τὴν γῆν ἐκ πόθου. Καὶ θησαυρὸν μὲν ȣ̓χ εὗρον[7]· ἡ δ᾽ ἄμπελος, καλῶς κατασκαφεῖσα[8] καὶ ὠφεληθεῖσα[9]

πολ-

πολλαπλάσιον καρπὸν δέδωκε [10], καὶ πλεῖον ἀνήνεγκεν [11].

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστὶ τοῖς ἀνθρώποις.

1 παῖς. 2 καταλύω. 3 προσκαλέω. 4 νομίζω. 5 πατὴρ. 6 λαμβάνω. 7 εὑρίσκω. 8 κατασκάπτω. 9 ὠφελέω. 10 δίδωμι. 11 ἀναφέρω.

10. ΞΥΛΕΥΟΜΕΝΟΣ ΚΑΙ ἙΡΜΗΣ.

Ξυλευόμενός τις παρὰ τῷ ποταμῷ τὸν οἰκεῖον ἀπέβαλε [1] πέλεκυν. Ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας [2] ὠδύρετο [3]. Ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν, καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς [4] εἰς τὸν ποταμὸν, χρυσοῦν ἀνήνεγκε [5] πέλεκυν, καὶ, εἰ οὗτος ἐστιν, ὃν ἀπώλεσεν [6], ἤρετο [7]. Τοῦ δὲ μὴ τοῦτον εἶναι, φαμένου [8], αὖθις καταβὰς [9], ἀργυροῦν ἀνεκόμισε. Τοῦ δὲ, μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον, εἰπόντος, ἐκ τρίτου καταβὰς, ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ, τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα [10], φαμένου [11], Ἑρμῆς ἀποδεξάμενος [12] αὐτοῦ τὴν δικαιοσύνην, ἅπαντας [13] αὐτῷ ἐδωρήσατο [14]. Ὁ δὲ παραγενόμενος [15] πάντα τοῖς ἑταίροις τὰ συμβάντα [16] διεξελήλυθεν [17]· ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν, καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς [18] εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο [19]. Ἐπιφανεὶς [20] οὖν ὁ Ἑρμῆς κἀκείνῳ [21], καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως, χρυσῆν ἀξίνην ἐξήνεγκε, καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ, ναὶ ἀληθῶς ἥδ᾽ ἐστὶ, φήσαντος [22], μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν [23], ἀλλ᾽ οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν [24].

῾Ο μῦθος δηλοῖ, ὅτι, ὅσον τοῖς δικαίοις τὸ θεῖον συναίρεται, τοσῦτον τοῖς ἀδίκοις ἐναντιῦται.

1 ἀποβάλλω. 2 καθίζω. 3 ὀδύρομαι. 4 καταδύμι. 5 ἀναφέρω. 6 ἀπόλλυμι. 7 ἔρομαι. 8 φημί. 9 καταβαίνω. 10 ἀπόλλυμι. 11 φημί. 12 ἀποδέχομαι. 13 ἅπας. 14 δωρέω. 15 nehmlich εἰς οἶκον von παραγίνομαι. 16 συμβαίνω. 17 διεξέρχομαι. 18 ἀφίημι. 19 κάθημαι. 20 ἐπιφαίνω. 21 zusammengezogen statt καὶ ἐκείνῳ. 22 φημί. 23 κατέχω. 24 ἀποδίδωμι.

11. ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.

Λύκος λιμώττων περιῄει [1] ζητῶν τροφήν· γενόμενος δὲ κατά τινα τόπον, ἤκυσε [2] παιδίυ κλαίοντος καὶ γραὸς [3] λεγύσης αὐτῷ· παῦσαι [4] τῦ κλαίειν, εἰ δὲ μὴ, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω [5] σε τῷ λύκῳ. Οἰόμενος δὴ ὁ λύκος, ὅτι ἀληθεύει ἡ γραῦς, ἵςατο πολλὴν ἐκδεχόμενος ὥραν. ῾Ως δ᾽ ἑσπέρα κατέλαβεν [6], ἀκούει πάλιν τῆς γραὸς κολακευύσης τὸ παιδίον, καὶ λεγύσης αὐτῷ· ἐὰν ἔλθῃ ὁ λύκος δεῦρο, φονεύσομεν, ὦ τέκνον, αὐτόν. Ταῦτα ἀκύσας ὁ λύκος ἐπορεύετο, λέγων· ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγυσιν, ἄλλα δὲ πράττυσιν.

῾Ο μῦθος πρὸς ἀνθρώπυς, οἵτινες τὰ ἔργα τοῖς λόγοις ὐκ ἔχυσιν ὅμοια.

1 von περίειμι. 2 ἀκύω. 3 γραῦς. 4 παύομαι. 5 ἐπιδίδωμι. 6 καταλαμβάνω.

12. ΛΥΚΟΣ ΚΑΙ ΓΕΡΑΝΟΣ.

Λύκυ λαιμῷ ὀςέον ἐπεπήγει [1]. ὁ δὲ γεράνῳ μισθὸν παρέξειν [2] εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλῦ-

βαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. Ἡ δὲ τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα [3], τὸν μισθὸν ἐπεζήτει. Ὁ δὲ γελάσας, καὶ τοὺς ὀδόντας [4] θήξας [5], ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξῆρες [6] κάραν σῶαν, μηδὲν παθοῦσαν [7].

Ὁ μῦθος πρὸς ἄνδρας, οἵτινες, ἀπὸ κινδύνου διασωθέντες [8], τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

1 von πηγνύω. 2 παρέχω. 3 εἰμὶ. 4 ὀδοὺς. 5 θήγω. 6 ἐξαίρω. 7 πάσχω. 8 διασώζω.

13. ΑΛΩΠΗΞ ΚΑΙ ΒΟΤΡΥΣ.

Βότρυας πεπείρους ἀλώπηξ κρεμαμένους ἰδοῦσα [1], τούτους ἐπειρᾶτο [2] καταφαγεῖν· πολλὰ δὲ καμοῦσα [3] καὶ μὴ δυνηθεῖσα [4] ψαῦσαι [5], τὴν λύπην δὲ παραμυθουμένη, ἔλεγεν, ὄμφακες [6] ἔτι εἰσίν.

Τοὺς δι' ἀδυναμίας τινὸς ἀποτυγχάνοντας πράγματος, καὶ θέλοντας τοῦτο διὰ ψεύδους καλύψαι [7], ἐλέγχει ὁ μῦθος.

1 εἴδω. 2 πειράω. 3 κάμνω. 4 δύναμαι. 5 ψαύω. 6 ὄμφαξ. 7 καλύπτω.

14. ΙΠΠΟΣ ΚΑΙ ΟΝΟΣ.

Ἄνθρωπός τις εἶχεν [1] ἵππον καὶ ὄνον. Ὁδευόντων δὲ, ἐν τῇ ὁδῷ εἶπεν ὁ ὄνος τῷ ἵππῳ· ἆρον [2] ἐκ τοῦ ἐμοῦ βάρους [3], εἰ θέλεις εἶναι με σῶον [4]. Ὁ δὲ οὐκ ἐπείσθη [5]· ὁ δὲ ὄνος, πεσὼν [6] ἐκ τοῦ κόπου, ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος [7] αὐτῷ, καὶ αὐτὴν τὴν ὄνου δορὰν, θρηνῶν ὁ ἵππος ἐβόα [8],

οἴμοι τῷ παναθλίῳ, τί μοι συνέβη [9] τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν [10], ἰδὲ ἅπαντα βαςάζω, καὶ τὸ δέρμα.

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνῦντες σωθήσονται [11] ἐν βίῳ.

1 ἔχω. 2 αἴρω. 3 βάρος. 4 σῶς. 5 πείθω. 6 πίπτω. 7 ἐπιτίθημι. 8 βοάω. 9 συμβαίνω. 10 λαμβάνω. 11 σώζω.

15. ΑΙΘΙΟΨ.

Αἰθίοπά τις ὠνήσατο [1], τοιῦτον εἶναι τὸ χρῶμα δοκῶν ἀμελείᾳ τῦ πρότερον ἔχοντος. Καὶ παραλαβὼν [2] οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε [3] τὰ ῥύμματα, πᾶσι δὲ λυτροῖς ἐπειρᾶτο καθαίρειν. Καὶ τὸ μὲν χρῶμα μεταβάλλειν ὐκ εἶχε [3], νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν [5].

Μένυσιν αἱ φύσεις, ὡς προῆλθον [6] τὴν ἀρχήν.

1 ὠνέομαι. 2 παραλαμβάνω. 3 προσάγω. 4 ἔχω. 5 παρασκευάζω. 6 προέρχομαι.

16. ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων γηράσας [1] καὶ μὴ δυνάμενος διαρκέσαι αὐτῷ εἰς τροφὴν, ἔγνω [2] δι' ἐπινοίας τι πρᾶξαι [3]. Καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ, κατακλινθεὶς [4] προσεποιεῖτο νοσεῖν. Παραγενόμενα ὖν τὰ ζῶα ἐπισκέψεως χάριν συλλαμβάνων, κατήσθιεν [5] αὐτά. Πολλῶν ὖν ζώων ἀναλωθέντων [6], ἀλώπηξ, τὸ τέχνασμα τῦτο γνῦσα [7], παρεγένετο πρὸς αὐτὸν, καὶ ςᾶσα [8] ἔξωθεν τῦ σπηλαίυ ἐπυνθάνετο, πῶς ἔχει. Τῦ δε εἰπόντος, κακῶς, καὶ τὴν αἰτίαν

τίαν πυνθανομένε, δι' ἣν ἐκ εἰσέρχεται, ἡ ἀλώπηξ ἔφη, ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων [9], ὀλίγων δὲ ἐξιόντων [10].

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ἐκ τεκμηρίων προορώμενοι [11], τὰς κινδύνες ἐκφεύγεσιν.

1 γηράσκω. 2 γινώσκω. 3 πράσσω. 4 κατακλίνω. 5 κατεσθίω. 6 ἀναλίσκω. 7 γινώσκω. 8 ἵημι. 9 εἴσειμι. 10 ἔξειμι. 11 προοράω.

17. ἙΡΜΗΣ ΚΑΙ ΑΓΑΛΜΑΤΟΠΟΙΟΣ.

Ἑρμῆς γνῶναι βουλόμενος, ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐςὶν, ἧκεν εἰς ἀγαλματοποιὲ [1], ἑαυτὸν εἰκάσας ἀνθρώπῳ. Καὶ θεασάμενος ἄγαλμα τὲ Διὸς [2] ἠρώτα, πόσε [3] τις αὐτὸ πρίασθαι δύναται. Τὲ δὲ εἰπόντος, δραχμῆς, γελάσας, πόσε τὸ τῆς Ἥρας, ἔφη. Εἰπόντος δὲ, πλείονος, ἰδὼν καὶ τὸ ἑαυτὲ ἄγαλμα, καὶ νομίσας, ἐπειδὴ ἄγγελός ἐςὶ θεῶν καὶ κερδῷος, πολὺν αὐτὲ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτὲ. Ὁ δ' ἀγαλματοποιὸς ἔφη, ἐὰν τέτες ὠνήσῃ καὶ τἔτον προσθήκην σοι δίδωμι [4].

Ὁ μῦθος πρὸς ἄνδρα κενόδοξον, ἐδεμιᾷ παρὰ ἄλλοις ὄντα τιμῇ.

1 in-das Haus eines Bildhauers. Es fehlt das Wort οἶκον, welches oft hinzugedacht werden muß. 2 vom Nominat. Ζεύς. 3 vor πόσε muß man ἀντὶ hinzudenken. (Für wieviel.) 4 Der Bildhauer wollte und konnte darum die Bildsäule des Merkur als eine Zugabe obenein in den Kauf geben, weil sie nicht viel Zeit und Kunst erforderte. Denn die Bildsäulen des Merkur waren meistens ohne Hände und Füße.

18. ΚΟΡΑΞ ΚΑΙ ΑΛΩΠΗΞ.

Κόραξ κρέας ἁρπάσας [1], ἐπί τινος δένδρȣ ἐκάθισεν. Ἀλώπηξ δὲ, τȣ̃τον θεασαμένη, βȣλομένη δὲ καὶ τὸ κρέας ἁρπάσαι, ςᾶσα [2] ἐπαινεῖ αὐτὸν ὡς εὐμεγέθη τε καὶ καλὸν, λέγȣσα καὶ ὅτι πρέπει μάλιςα, αὐτὸν τῶν ὀρνέων βασιλεύειν, καὶ τȣ̃το παντάπως ἂν γένοιτο, εἰ φωνὴν εἶχεν [3]. Ὁ δὲ, βαλὼν τὸ κρέας, μεγάλα ἔκραγεν [4]· ἐκείνη δὲ προσδραμȣ̃σα [5] ἔφη· ὦ κόραξ, εἰ καὶ φρένας εἶχες, ȣ̓δὲν ἐδέησέν [6] σοι εἰς τὸ βασιλεύειν.

Ὅτι ȣ̓ δεῖ τινα ὑπὸ τῶν κολάκων ἐπαίρεσθαι.

1 ἁρπάζω. 2 ἵςημι. 3 ἔχω. 4 κράζω. 5 προστρέχω. 6 δεῖ.

19. ΟΝΟΣ ΑΓΡΙΟΣ.

Ὄνος ἄγριος ὄνον ἰδὼν [1] ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν [2] αὐτὸν ἐμακάριζεν, ἐπί τε τῇ εὐεξίᾳ τȣ̃ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὕςερον δὲ ἰδὼν αὐτὸν ἀχθοφορȣ̃ντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη· ἀλλ᾽ ἔγωγε ȣ̓κέτι σε εὐδαιμονίζω· ὁρῶ γὰρ, ὡς ȣ̓κ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

Ὁ μῦθος δηλοῖ, ὅτι ȣ̓κ ἔςι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν κέρδη.

1 εἴδω. 2 προσέρχομαι.

20. ΕΛΑΦΟΣ ΚΑΙ ΛΕΩΝ.

Ἔλαφος δίψει συχεθεῖσα [1] παρεγένετο ἐπί τινα πηγήν· πιȣ̃σα [2] δὲ, ὡς ἐθεάσατο τὴν ἑαυτῆς

σκιὰν

σκιὰν κατὰ τῦ ὕδατος, ἐπὶ μὲν τοῖς κέρασιν ἠγάλλετο [3], ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν, ἐπὶ δὲ τοῖς ποσὶ σφόδρα ἤχθετο [4], ὡς λεπτοῖς ὖσι [5] καὶ ἀσθενέσιν. ἔτι δὴ αὐτῆς διανοȣμένης, λέων ἐπιφανεὶς [6] ἐδίωκεν αὐτὴν, κἀκείνη εἰς φυγὴν τραπεῖσα [7], κατὰ τὸ πολὺ [8] αὐτῦ προεῖχε. μέχρι μὲν ὖν ψιλὸν ἦν τὸ πεδίον, ἡ μὲν προθέȣσα διεσώζετο· ἐπειδὴ δὲ ἐγένετο κατὰ ὑλώδη τόπον, τηνικαῦτα συνέβη [9], τῶν κεράτων αὐτῆς ἐμπλακέντων [10] τοῖς κλάδοις, μὴ δύνασθαι τρέχειν, κἀκεῖσε [11] ὑπὸ τῦ λέοντος συλληφθῆναι [12]. μέλλȣσα δὲ ἀναιρεῖσθαι ἔφη πρὸς ἑαυτὴν· δειλαία ἔγωγε, ἥτις ὑφ᾽ ὧν μὲν ᾤμην [13] προδοθήσεσθαι [14], ὑπὸ τȣ́των ἐσωζόμην, οἷς δὲ σφόδρα ἐπεποίθειν [15], ὑπὸ τȣ́των ἀπωλόμην [16].

Οὕτω πολλάκις ἐν κινδύνοις, οἱ μὲν ὕποπτοι τῶν φίλων, σωτῆρες· οἱ δὲ σφόδρα ἐμπιστευθέντες, προδόται [17].

1 συνέχω. 2 πίνω. 3 ἀγάλλομαι. 4 ἄχθομαι. 5 εἰμί. 6 ἐπιφαίνω. 7 τρέπω. 8 bei weitem. 9 συμβαίνω. 10 ἐμπλέκω. 11 statt καὶ ἐκεῖσε. 12 συλλαμβάνω. 13 οἶμαι. 14 προδίδωμι. 15 πείθω. 16 ἀπόλλυμι. 17 scil. εἰσί.

21. ΑΣΤΡΟΛΟΓΟΣ.

Ἀστρολόγος, ἐξιὼν [1] ἑκάστην ἑσπέραν, ἔθος εἶχε τȣ̀ς ἀστέρας ἐπισκοπεῖν. Καὶ δή ποτε περιϊὼν [2] εἰς τὸ προάστειον, καὶ τὸν νȣ͂ν ὅλον ἔχων πρὸς τὸν ȣ̓ρανὸν, ἐξέλαθε [3] καταπεσὼν [4] εἰς τὸ φρέαρ. ὀδυρομένȣ δὲ αὐτῦ καὶ βοῶντος, παριών τις, ὡς ἤκȣσεν τῦ στεναγμῦ, προσελθὼν καὶ μαθὼν τὰ

συμβεβηκότα [5], ἔφη πρὸς αὐτὸν, ὦ σὺ, ἐν ἐρανῷ βλέπειν πειρώμενος, τὰ ἐπὶ γῆς ἐχ ὁρᾷς;

Πρὸς τὲς παραδόξως ἀλαζονευομένες, καὶ μηδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυναμένες.

1 ἔξειμι. 2 περίειμι. 3 ἐκλανθάνω. 4 καταπίπτω. 5 συμβαίνω.

22. ΛΕΑΙΝΑ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέαινα, ὀνειδιζομένη ὑπὸ ἀλώπεκος ἐπὶ τὸ διὰ παντὸς ἕνα [1] τίκτειν, ἕνα ἔφη, ἀλλὰ λέοντα.

Ὁ λόγος δηλοῖ, ὅτι τὸ καλὸν ἐκ ἐν πλήθει ἀλλ' ἀρετῇ [2].

1 εἷς. 2 scil. κεῖται.

23. ὉΔΟΙΠΟΡΟΙ ΚΑΙ ΑΡΚΤΟΣ.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον· ἄρκτε δὲ αὐτοῖς ἐπιφανείσης [1], ὁ μὲν εἷς φθάσας [2] ἀνέβη [3] ἐπὶ τι δένδρον, καὶ ἐνταῦθα ἐκρύπτετο· ὁ δὲ ἕτερος μέλλων περικατάληπτος γίνεσθαι, πεσὼν [4] ἐπὶ τε ἐδάφες, ἑαυτὸν νεκρὸν προσεποιεῖτο [5]. τῆς δὲ ἄρκτε προσενεγκέσης [6] αὐτῷ τὸ ῥύγχος καὶ περιοσφραινομένης, τὰς ἀναπνοὰς συνεῖχε [7]. φασὶ γὰρ νεκρε μὴ ἅπτεσθαι τὸ ζῶον. ἀπαλλαγείσης [8] δὲ, ὁ ἀπὸ τε δένδρε καταβὰς [9] ἐπυνθάνετο τε ἑτέρε, τί ἡ ἄρκτος πρὸς τὸ ἒς εἰρήκει [10]· ὁ δὲ εἶπε, τε λοιπε [11] τοιέτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις ἐ παραμένεσιν.

Ὁ λόγος δηλοῖ, ὅτι τὲς γνησίες τῶν φίλων αἱ συμφοραὶ δοκιμάζεσι.

1 ἐπιφαί-

1 ἐπιφαίνω. 2 φθάνω. 3 ἀναβαίνω. 4 πίπτω. 5 προσποιέομαι. 6 πρόσφέρω. 7 συνέχω. 8 ἀπαλλάσσω. 9 καταβαίνω. 10 ῥέω. 11 scil. χρόνε.

24. ΠΑΙΣ ΨΕΥΣΤΗΣ.

Παιδίον τὰ πρόβατα νέμον, ὡς λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν [1], ἐπικαλέμενον τὲς ἀγρότας ἔλεγε, βοηθεῖτε, ὧδε ἔρχεται λύκος· οἱ δὲ ἀγρόται τρέχοντες τἕτον εὕρισκον μὴ ἀληθεύειν· τἕτο δὲ ποιήσαντος πολλάκις, εὕρισκον ψευδόμενον· μετὰ δὲ ταῦτα τἕ λύκε προσελθόντος, καὶ τἕ παιδὸς βοῶντος [2], δεῦτε [3], λύκος, ἐκέτι τις ἐπεπιςεύκει [4] προσδραμεῖν [5] αὐτῷ καὶ βοηθῆσαι· ὁ δὲ λύκος εὑρηκὼς [6] ἄδειαν, τὴν ποίμνην πᾶσαν διέφθειρεν [7] εὐκόλως.

Ὁ ψεύςης καὶ ἀληθῆ λέγων πολλάκις ἐ πιςεύεται.

1 ὁράω. 2 βοάω. 3 δεῦρο. 4 πιςεύω. 5 προστρέχω. 6 εὑρίσκω. 7 διαφθείρω.

25. ΚΥΩΝ ΚΑΙ ΟΪΣ.

Φασὶν, ὅτε φωνήεντα [1] ἦν τὰ ζῶα, τὴν ὄϊν πρὸς τὸν δεσπότην εἰπεῖν· Θαυμαςὸν ποιεῖς, ὃς ἡμῖν μὲν, ταῖς καὶ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχέσαις, ἐδὲν δίδως [2], ὅ, τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν· τῷ δὲ κυνὶ, ὃς ἐδὲν τοιἕτόν σοι παρέχει, μεταδίδως, ἕπερ [3] αὐτὸς ἔχεις, σίτε. Τὸν κύνα ἕν ἀκέσαντα εἰπεῖν [4]· Ναὶ μὰ Δία [5], ἐγὼ γάρ εἰμὶ ὁ καὶ ὑμᾶς αὐτὰς σώζων, ὥςε μήτε ὑπ᾽ ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, ἐδ᾽

ἂν

ἂν νέμεσθαι δύνασθε, φοβούμενοι, μὴ ἀπόλησθε [6]. οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι, τὸν κύνα προτιμᾶσθαι.

1 φωνήεις. 2 δίδωμι. 3 οὗπερ, hier statt ὅνπερ, wegen des Genitiv σίτου, nach einer besondern Eigenheit der griechischen Sprache, da das Relativ ὅς, ἥ, ὅ sich öfters auch im Casus nach seinem Substantiv richtet, ohngeachtet das Verbum einen andern Casus erforderte. 4 scil. φασί. 5 Ζεύς. 6 ἀπόλλυμι.

26. ΛΥΚΟΣ ΚΑΙ ΠΟΙΜΕΝΕΣ.

Λύκος ἰδὼν ποιμένας, ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν, Ἡλίκος, ἔφη, ἂν ἦν ὑμῖν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν.

27. ΟΝΟΥ ΣΚΙΑ.

Νεανίας τὶς θέρους ὥρα ἐμισθώσατο [1] ἐξ ἄστεος ὄνον Μεγάραδε· μεσούσης [2] δὲ τῆς ἡμέρας, καὶ σφοδρῶς φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν. εἶργον δὲ ἀλλήλους, ὁ μὲν, μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιὰν, λέγων· ὁ δὲ μεμισθωμένος, τὴν πᾶσαν ἔχειν ἐξουσίαν.

Ὁ μῦθος [3] ἐπὶ τῶν ὑπὲρ μηδενὸς χρησίμου φιλοτιμουμένων.

1 μισθόω. 2 μεσόω. 3 scil. ἐςί.

28. ΠΙΘΗΚΟΙ ΟΡΧΗΣΑΝΤΕΣ.

Λέγεται βασιλεύς τις Αἰγύπτιος πιθήκους ποτὲ πυῤῥιχίζειν διδάξαι [1], καὶ τὰ θηρία ἐκμαθεῖν [2] τάχιστα, καὶ

καὶ ὀρχεῖσθαι ἀλυργίδας ἀμπεχόμενα καὶ προσωπεῖα περικείμενα· καὶ μέχρι πολλȣ̃ εὐδοκιμεῖν τὴν θέαν, ἄχρι δή τις θεατὴς ἀςεῖος, κάρυα ὑπὸ κόλπον ἔχων, ἀφῆκεν [3] ἐς τὸ μέσον. οἱ δὲ πίθηκοι ἰδόντες καὶ ἐκλαθόμενοι [4] τῆς ὀρχήσεως, τȣ̃θ᾽ ὅπερ ἦσαν [5] πίθηκοι ἐγένοντο ἀντὶ πυῤῥιχιςῶν, καὶ ξυνέτριβον [6] τὰ προσωπεῖα καὶ τὴν ἐσθῆτα κατεῤῥήγνυον [7], καὶ ἐμάχοντο περὶ τῆς ὀπώρας πρὸς ἀλλήλȣς.

1 διδάσκω. 2 ἐκμανθάνω. 3 ἀφίημι. 4 ἐκλανθάνομαι. 5 εἰμί. (wurden, was sie waren — Affen) 6 συντρίβω, attisch ξυντρίβω. 7 καταῤῥηγνύω.

29. ΛΕΩΝ ΚΑΙ ΜΥΣ.

Λέοντος κοιμωμένȣ [1] μῦς τῷ σώματι ἐπέδραμεν [2]. ὁ δὲ ἐξαναςὰς [3] συνέλαβεν αὐτόν. Ὁ δὲ μῦς ἐδεήθη [4] αὐτȣ̃, μεθεῖναι [5] αὐτὸν, λέγων, ὅτι σωθεὶς [6] πολλὰς χάριτας αὐτῷ ἀποδώσει [7]. γελάσας δὲ ἀπέλυσεν [8] αὐτόν. συνέβη [9] δὲ, αὐτὸν μετ᾽ ȣ̓ πολὺ τῇ τȣ̃ μυὸς χάριτι περισωθῆναι [10]. ἐπειδὴ γὰρ συλληφθεὶς [11] ὑπό τινων κυνηγῶν καμίλῳ ἐδέθη [12] ἐπί τινι δένδρῳ, τηνικαῦτα καὶ ὁ μῦς αὐτȣ̃ ἀκȣ́σας ςένοντος, ἐλθὼν τὸν κάμιλον περιέτρωγε, καὶ λύσας αὐτὸν ἔφη· σὺ δὲ ȣ̔́τω μȣ̃ κατεγέλασας, ὡς μὴ προσδοκῶν ἀμοιβὴν παρ᾽ ἐμȣ̃ κομίσασθαι [12], νῦν δ᾽ εὖ ἴσθι [14] ὅτι ἐςὶ καὶ παρὰ μυσὶ χάρις.

Οἱ εὐνοȣ̃ντες ἀνθρώπων, κἂν [15] πένητες ὦσι [16] δύνανται ἐν καιρῷ καὶ δυνάςας ὠφελεῖν.

1 κοιμάομαι. 2 ἐπιτρέχω. 3 ἐξανίςημι. 4 δέομαι. 5 μεθίημι. 6 σώζω. 7 ἀποδίδωμι. 8 ἀπολύω. 9 συμβαίνω. 10 περισώζω. 11 συλλαμβάνω.

 12 δέω.

12 δέω. 13 κομίζω. 14 ἵσημι. 15 κἂν zusammengezogen aus καὶ und ἐὰν. 16 εἰμί.

30. ΟΝΟΣ ΚΑΙ ΛΕΟΝΤΗ.

Ὄνος δορὰν λέοντος ἐπενδυθεὶς [1] λέων ἐνομίζετο πᾶσι. καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. ὡς δὲ ἀνέμου πνεύσαντος [2] ἡ δορὰ περιῃρέθη [3], καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε πάντες ἐπιδραμόντες [4] ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

Πένης καὶ ἰδιώτης ὢν μὴ μιμοῦ [5] τὰ τῶν πλουσίων, μή ποτε καταγελασθῇς καὶ κινδυνεύσῃς.

1 ἐπενδύω. 2 πνέω. 3 περιαιρέω. 4 ἐπιτρέχω. 5 μιμέομαι.

III.

Erzählungen aus dem Aelian.

1. Wie Sokrates den Hochmuth seines Schülers, des Alkibiades, gedemüthigt.

Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον [1] ἐπὶ τῷ πλούτῳ καὶ μέγα φρονοῦντα [1] ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν [2] αὐτὸν ἐπί τινα τόπον, ἔνθα ἀνέκειτο [4] πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε [5], τὴν Ἀττικὴν [6] ἐνταῦθα ἀναζητεῖν. ὡς δὲ εὗρε [7], προσέταξε, τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι [8]. τοῦ δὲ εἰπόντος, ἀλλ' οὐδαμοῦ γεγραμμένοι [9] εἰσίν· ἐπὶ

τούτοις

τούτοις, εἶπε, μέγα φρονεῖς, οἵπερ οὐδὲν μέρος τῆς γῆς εἰσίν;

1 τυφόω. 2 μέγα φρονεῖν stolz sein. 3 ἄγω. 4 ἀνάκειμαι. 5 προστάσσω. 6 Sokrates und Alkibiades lebten beide in Athen, der Hauptstadt der Provinz Attika. 7 εὑρίσκω. 8 διαθρέω. 9 γράφω.

2. Alexander und sein Pferd.

Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ εἰκόνα ἑαυτοῦ, τὴν ὑπὸ Ἀπελλοῦ γραφεῖσαν [1], οὐκ ἐπήνεσε [2] κατὰ τὴν ἀξίαν τοῦ γράμματος. εἰσαχθέντος [3] δὲ τοῦ ἵππου, καὶ χρεμετίσαντος [4] πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι, ὡς πρός ἀληθινὸν καὶ ἐκεῖνον, ὦ βασιλεῦ, (εἶπεν ὁ Ἀπελλῆς·) ἀλλ᾽ ὅγε ἵππος ἔοικε [5] σοῦ γραφικώτερος εἶναι κατὰ πολύ.

1 γράφω. 2 ἐπαινέω. 3 εἰσάγω. 4 χρεμετίζω. 5 εἴκω.

3. Der Philosoph Antisthenes und sein Schüler Diogenes.

Ἐπεὶ ὁ Ἀντισθένης πολλοὺς προὔτρεπεν [1] ἐπὶ φιλοσοφίαν· οἱ δὲ, οὐδεὶς αὐτῷ προσεῖχον [2], τέλος [3], ἀγανακτήσας [4], οὐδένα προσίετο [5]. καὶ Διογένην οὖν ἤλαυνεν [6] ἀπὸ τῆς συνουσίας αὐτοῦ. ἐπεὶ δὲ ἦν λιπαρέστερος ὁ Διογένης, καὶ ἐνέκειτο [7], ἐνταῦθα ἤδη καὶ τῇ βακτηρίᾳ καθίξεσθαι [8] αὐτοῦ ἠπείλει [9], καί ποτε καὶ ἔπαισε [10] κατὰ τῆς κεφαλῆς. ὁ δὲ οὐκ ἀπηλλάττετο [11], ἀλλ᾽ ἔτι μᾶλλον ἐνέκειτο φιλοπόνως, ἀκούειν αὐτοῦ διψῶν. καὶ ἔλεγε· σὺ μὲν παῖε, εἰ βούλει [12], ἐγὼ δὲ ὑποθήσω [13] τὴν κεφαλὴν, καὶ οὐκ ἂν οὕτως ἐξεύροις [14] βακτηρίαν σκληρὰν, ὥστε με ἀπε-

ἀπελᾶσαι [15] τῶν διατριβῶν τῶν σῶν. ὁ δὲ ὑπερησπάσατο [16] αὐτὸν.

1 προτρέπω. 2 προσέχω. 3 τέλος statt κατὰ τέλος endlich. 4 ἀγανακτέω. 5 προσίημι. 6 ἐλαύνω. 7 ἔγκειμαι. 8 καθικνέομαι. 9 ἀπειλέω. 10 παίω. 11 ἀπαλλάσσω. 12 attisch statt βέλη. 13 ὑποτίθημι. 14 ἐξευρίσκω. 15 ἀπελαύνω. 16 ὑπερασπάζομαι.

4. Eine besondere Art von Wahnsinn.

Θράσυλλος παράδοξον καὶ καινὴν ἐνόσησε [1] μανίαν. Ἀπολιπὼν [2] γὰρ τὸ ἄςυ, καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ [3], καὶ ἐνταῦθα οἰκῶν, τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα ἑαυτȣ̃ ἐνόμιζεν εἶναι, καὶ ἀπεγράφετο αὐτὰ, καὶ αὖ πάλιν ἐξέπεμπε [4]. καὶ τοῖς περισωζομένοις καὶ εἰσιȣ̃σιν [5] εἰς τὸν λιμένα ὑπερέχαιρε. Χρόνȣς δὲ διετέλεσε [6] πολλȣ̀ς συνοικῶν τῷ ἀῤῥωςήματι τȣ́τῳ. Ἐκ Σικελίας δὲ ἀναχθεὶς [7] ὁ ἀδελφὸς αὐτȣ̃ παρέδωκεν [7] αὐτὸν ἰατρῷ ἰάσασθαι [9], καὶ ἐπαύσατο [10] τῆς νόσȣ ὅτως. Ἐμέμνητο [11] δὲ πολλάκις τῆς ἐν μανίᾳ διατριβῆς, καὶ ἔλεγε, μηδέποτε ἡσθῆναι [12] τοσȣ̃τον, ὅσον τότε ἥδετο ἐπὶ ταῖς μηδὲν αὐτῷ προσηκȣ́σαις [13] ναυσὶν ἀποσωζομέναις.

1 νοσέω. 2 ἀπολείπω. 3 Πειραιεύς. 4 ἐκπέμπω. 5 εἴσειμι. 6 διατελέω. 7 ἀνάγω. 8 παραδίδωμι. 9 ἰάομαι. 10 παύομαι. 11 μνάομαι. 12 ἥδομαι. 13 προσήκω.

5. Demüthigung des stolzen Arztes Menekrates.

Μενεκράτης ὁ ἰατρὸς εἰς τοσȣ̃τον προῆλθε τύφȣ [1], ὥςε ἑαυτὸν ὀνομάζειν Δία [2]. ἀπέςειλε [3] δέ

ποτε

ποτε ἐπιστολὴν Φιλίππῳ τῷ Μακεδόνων Βασιλεῖ τοιαύτην· Φιλίππῳ Μενεκράτης ὁ Ζεὺς] εὖ πράττειν [4]. ἀντέγραψε [5] δὲ καὶ ὁ Φίλιππος· Φίλιππος Μενεκράτει ὑγιαίνειν. συμβουλεύω σοι προσάγειν σεαυτὸν ἐπὶ τοῖς κατὰ Ἀντίκυραν [6] τόποις. ἠνίττετο [7] δὲ ἄρα διὰ τούτων, ὅτι παραφρονεῖ ὁ ἀνήρ.

Εἱστία [8] ποτὲ μεγαλοπρεπῶς ὁ Φίλιππος, καὶ δὴ καὶ τοῦτον ἐπὶ θοίνην ἐκάλεσε καὶ ἰδίᾳ κλίνην αὐτῷ ἐκέλευσε παρεσκευάσθαι [9] καὶ κατακλιθέντι [10] θυμιατήριον παρέθηκε [11], καὶ ἐθυμιᾶτο αὐτῷ. οἱ δὲ λοιποὶ εἱστιῶντο, καὶ ἦν μεγαλοπρεπὲς τὸ δεῖπνον. ὁ τοίνυν Μενεκράτης τὰ μὲν πρῶτα ἐνεκαρτέρει, καὶ ἔχαιρε τῇ τιμῇ. ἐπεὶ δὲ κατὰ μικρὸν [12] ὁ λιμὸς περιῆλθεν αὐτῷ, καὶ ἠλέγχετο [13], ὅτι ἦν ἄνθρωπος, καὶ ταῦτα [14] εὐήθης, ἐξαναστὰς [15] ἀπιὼν [16] ᾤχετο [17], καὶ ἔλεγεν ὑβρίσθαι [18], ἐμμελῶς πάνυ τοῦ Φιλίππου τὴν ἄνοιαν αὐτοῦ ἐκκαλύψαντος [19].

1 εἰς τοσοῦτον τύφου statt τοσοῦτον τύφον, wie die Lateiner tantum superbiae statt tanta superbia. 2 Ζεύς. 3 ἀποστέλλω. 4 scil. εὔχεται. Eben so die Lateiner beim Anfang des Briefs Menecrates Philippo salutem *sc. optat.* 5 ἀντιγράφω. 6 Es gab in Griechenland zwei Städte, die den Namen Antikyra führten, die eine in der Provinz Phokis, die Andre in Thessalien. Beide waren vorzüglich bekannt durch die in ihrer Gegend häufig wachsende Nieseswurz (Helleborus), ein Kraut, dem man die Kraft zuschrieb, das Gehirn zu reinigen und die Tollheit zu heilen. Es war daher kein Kompliment, wenn man jemanden rieth, nach Antikyra zu reisen. 7 αἰνίττομαι. 8 ἑστιάω. 9 παρασκευάζω. 10 κατακλίνω. 11 παρατίθημι. 12 κατὰ μικρὸν allmälig.

lig. 13 ἐλέγχω. 14 καὶ ταῦτα und noch dazu. 15 ἐξανίςημι. 16 ἄπειμι. 17 οἴχομαι. 18 ὑβρίζω. 19 ἐκκαλύπτω.

6. Freymüthigkeit des jungen Themistokles.

Ἐπανῄει [1] ποτὲ ἐκ διδασκαλείȣ παῖς ἔτι ὢν Θεμιςοκλῆς. Εἶτα προσιόντος Πεισιςράτȣ [2], ὁ παιδαγωγὸς ἔφη τῷ Θεμιςοκλεῖ, μικρὸν ἐκχωρῆσαι [3] τῆς ὁδȣ͂, προσάγοντος [4] τȣ͂ τυράννȣ. Ὁ δὲ καὶ πάνυ ἐλευθερίως ἀπεκρίνατο [5]· αὕτη [6] γὰρ, εἶπεν, αὐτῷ ȣ̓χ᾽ ἱκανὴ ὁδός; ȣ̔́τως ἄρα εὐγενές τι καὶ μεγαλόφρον ἐνεφαίνετο τῷ Θεμιςοκλεῖ καὶ ἐξ ἐκείνȣ [7].

1 ἐπάνειμι. 2 Pisistratus, damaliger Tyrann, oder Regent von Athen. 3 ἐκχωρέω. 4 προσάγειν scil. ἑαυτὸν sich heranführen d. i. herankommen. Denn ἑαυτὸν wird sehr oft auf diese Art bei den aktiven Verben ausgelassen. 5 ἀποκρίνομαι. 6 ἔτος. 7 scil. χρόνȣ schon von der Zeit an.

7. Der Tod ein Bruder des Schlafs.

Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τȣ͂ βίȣ, καὶ γεγηρακὼς [1] εὖ μάλα, ὑπό τινος ἀσθενείας καταληφθεὶς [2] κατ᾽ ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο [3]. Ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπȣ́μενος, καὶ ἤρετο [4], τί πράττοι; ὁ Γοργίας ἔφη, ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ.

1 γηράσκω. 2 καταλαμβάνω. 3 κεῖμαι. 4 ἔρομαι.

8. Des Philosophen Anaxagoras Gelassenheit beim Tode seiner Söhne.

Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ, σπεδάζοντι πρὸς τὲς ἑταίρες, προσελθὼν ἔφη, τεθνηκέναι [1] οἷ [2] τὲς δύο παῖδας, ὅσπερ ἦν καὶ εἶχε μόνες ὁ Αναξαγόρας. Ὁ δὲ, μηδὲν διαταραχθεὶς [3] εἶπεν, ᾔδειν [4] θνητὲς γεγεννηκὼς [5].

1 θνήσκω. 2 ἕ. Das Reciprokum. ἕ, οἷ (sich) wird öfters gesetzt, wo eigentlich das Relativum αὐτῦ, αὐτῷ (ihm) stehen sollte. 3 διαταράσσω. 4 εἰδέω. 5 γεννάω. Der Grieche setzt häufig ein Participium, wo der Lateiner den Accusativus mit dem Infinitiv setzt. So hier ᾔδειν γεγεννηκὼς sciebam me genuisse mortales.

9. Ein ähnliches Beispiel des Xenophon.

Ξενοφῶντι θύοντι ἧκε τις ἐκ Μαντινείας [1] ἄγγελος, λέγων, τὸν υἱὸν αὐτῦ τὸν Γρύλλον τεθνᾶναι [2]. Κἀκεῖνος [3] ἀπέθετο [4] μὲν τὸν ϛέφανον [5], διετέλει δὲ θύων. Ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε [6] καὶ ἐκεῖνο, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο [7] τὸν ϛέφανον.

1 Bei Mantinea war nehmlich ein Treffen vorgefallen zwischen den Thebern und Spartern. Die Athener waren damals Bundesgenossen der letztern, daher des Athener Xenophons Sohn auch mit zu Felde gegangen war. 2 θνήσκω. 3 καὶ ἐκεῖνος. 4 ἀποτίθημι. 5 Bei den Griechen und Römern pflegten sich die Opfernden zu bekränzen zum Zeichen der Freude. 6 προστίθημι. 7 ἐπιτίθημι.

10. Alexander und sein Musiklehrer.

Ἀλέξανδρος ὁ Φιλίππȣ, παῖς ὢν ἔπω πρόσηβος, ἐμάνθανε κιθαρίζειν. Τȣ͂ δὲ διδάσκοντος κρȣ͂σαι [1] κελεύσαντος [2] χορδήν τινα σὺν μέλει [3] καὶ ἣν ἀπήτει [4] τὰ κιθαρίσματα· καὶ τί διοίσει [5], ἔφη, ἐὰν ταύτην κρȣ́σω [6]; ἑτέραν δείξας [7]. Ὁ δὲ ȣ̓δὲν ἔφη διαφέρειν τῷ μέλλοντι βασιλεύειν, ἀλλ᾽ ȣ̓͂ν ἐπὶ τέχνῃ κιθαρίζειν μέλλοντι.

1 κρȣ́ω. 2 κελεύω. 3 μέλος. 4 ἀπαιτέω. Er sollte die Saite anschlagen, die die Melodie erfoderte. 5 διαφέρω. 6 κρȣ́ω. 7 δείκνυμι.

11. Mitleid gegen Thiere.

Ξενοκράτης ὁ Χαλκηδόνιος, ὁ ἑταῖρος Πλάτωνος, τά τε ἄλλα ἦν φιλοικτίρμων, καὶ ȣ̓ μόνον φιλάνθρωπος, ἀλλὰ καὶ πολλὰ τῶν ἀλόγων ζώων ἠλέει [1]. Καὶ ȣ̓͂ν ποτε καθημένȣ ἐν ὑπαίθρῳ, διωκόμενος βιαίως ςρȣθὸς ὑπὸ ἱέρακος [2] εἰς τȣ̀ς κόλπȣς αὐτȣ͂ κατέπτη [3]. Ὁ δὲ ἀσμένως ἐδέξατο [4] τὸν ὄρνιν, καὶ διεφύλαξεν [5], ἀποκρύψας, ἕς᾽ ἂν ὁ διώκων ἀπῆλθεν. Ἐπεὶ δὲ ἠλευθέρωσεν [6] αὐτὸν τȣ͂ φόβȣ, ἁπλώσας [7] τὸν κόλπον, ἀφῆκε [8] τὸν ὄρνιν, ἐπειπὼν, ὅτι μὴ ἐξέδωκε [9] τὸν ἱκέτην,

1 ἐλεέω. 2 ἱέραξ. 3 καθίπτημι. 4 δέχομαι. 5 διαφυλάσσω. 6 ἐλευθερόω. 7 ἁπλόω. 8 ἀφίημι. 9 ἐκδίδωμι.

12. Stolz und List des Theber Ismenias.

Ἰσμηνίȣ τȣ͂ Θηβαίȣ σοφὸν ἅμα καὶ ἑλληνικὸν ȣ̓κ ἂν ἀποκρυψαίμην [1] ἔργον. Πρεσβεύων ȣ̓͂τος ὑπὲρ

τῆς

τῆς πατρίδος πρὸς βασιλέα τῶν Περσῶν, ἀφίκετο [2] μὲν, ἐβϩλετο δὲ αὐτὸς, ὑπὲρ ὧν ἧκεν [3], ἐντυχεῖν [4] τῷ Πέρσῃ. Ἔφατο [5] ϩ̃ν πρὸς αὐτὸν ὁ χιλίαρχος, ὁ καὶ τὰς ἀγγελίας εἰσκομίζων τῷ βασιλεῖ, καὶ τϩ̀ς δεομένϩς εἰσάγων· Ἀλλ᾽ ὦ ξεῖνε Θηβαῖε, νόμος ἐςὶν ἐπιχώριος Πέρσαις, τὸν εἰς ὀφθαλμϩ̀ς ἐλθόντα τϩ̃ βασιλέως, μὴ πρότερον λόγϩ μεταλαγχάνειν, πρὶν ἢ προσκυνῆσαι αὐτὸν. Εἰ τοίνυν αὐτὸς διὰ σαυτϩ̃ [6] συγγενέσθαι θέλεις αὐτῷ, ὥρα σοὶ, τὰ ἐκ τϩ̃ νόμϩ δρᾶν· εἰ δὲ μὴ, τὸ αὐτὸ σοι τϩ̃το καὶ δι᾽ ἡμῶν ἀνυσθήσεται [7], καὶ μὴ προσκυνήσαντι [8]. Ὁ τοίνυν Ἰσμηνίας, Ἄγε με, εἶπε. Καὶ προσελθὼν καὶ ἐμφανὴς τῷ βασιλεῖ γενόμενος, περιελόμενος [9] τὸν δακτύλιον, ὃν ἔτυχε [10] φορῶν, ἔῤῥιψεν [11] ἀδήλως παρὰ τϩ̀ς πόδας. Καὶ ταχέως ἐπικύψας [12], ὡς δὴ προσκυνῶν, πάλιν ἀνείλετο [13] αὐτὸν. Καὶ δόξαν μὲν ἀπέςειλε τῷ Πέρσῃ προσκυνήσεως [14], ϩ̓ μὴν ἔδρασεν [15] ϩ̓δὲν [16] τῶν ἐν τοῖς Ἕλλησιν αἰσχύνην φερόντων. Πάντα ϩ̃ν, ὅσα ἠβϩλήθη [17], κατεπράξατο [18], ϩ̓δὲ ἠτύχησέ [19] τι ἐκ τϩ̃ Πέρσϩ.

1 ἀποκρύπτω. 2 ἀφικνέομαι. 3 über das, weswegen er gekommen war. 4 ἐντυγχάνω. 5 φημί. 6 διὰ σαυτϩ̃ in eigner Person. 7 ἀνύω. 8 der Sinn ist: Wir wollen, wenn du nicht selbst niederfallen willst, deinen Auftrag für dich ausrichten. 9 περιαιρέω. 10 τυγχάνω. (den er gerade trug.) 11 ῥίπτω. 12 ἐπικύπτω. 13 ἀναιρέω. 14 wörtlich: er schikte dem Perser die Meinung der Anbetung d. i. er brachte ihn auf die Gedanken, er sei würklich vor ihm niedergefallen, und doch u. s. w. 15 δράω. 16 ϩ̓δείς. 17 βϩ́λομαι. 18 καταπράσσω. 19 ἀτυχέω.

13. Unerschrokkenheit und Großmuth des Königs Darius.

Ἡμερώτατον δὲ Δαρείȣ τȣ̃το τὸ ἔργον ἀκȣ́ω τȣ̃ παιδὸς τȣ̃ Ὑςάσπȣ. Ἀρίβαζος ὁ Ὑρκανὸς ἐπεβȣ́λευσεν αὐτῷ, μετὰ καὶ ἄλλων ἀνδρῶν [1] ȣ̓κ ἀφανῶν. Ἦν δὲ ἡ ἐπιβȣλὴ ἐν κυνηγεσίῳ. Ἅπερ προμαθὼν [2] ὁ Δαρεῖος ȣ̓κ ἔπτηξεν [3], ἀλλὰ προστάξας [4] αὐτοῖς λαβεῖν τὰ ὅπλα καὶ τȣ̀ς ἵππȣς ἐκέλευσεν αὐτοῖς διατεῖναϑαι τὰ παλτά· καὶ δριμὺ ἐνιδὼν, τί ȣ̃ν ȣ̓ δρᾶτε [5] τȣ̃το, εἶπεν, ἐφ' ὃ καὶ ὡρμήσατε [6]; Οἱ δὲ ἰδόντες ἄτρεπτον ἀνδρὸς βλέμμα, ἀνεςάλησαν [7] τὴν ὁρμήν. Τὸ δέος δὲ αὐτȣ̀ς κατέχεν [8] ȣ̔́τως, ὡς καὶ ἐκβαλεῖν τὰς αἰχμὰς καὶ ἀφαλέϑαι [9] τῶν ἵππων, καὶ προσκυνῆσαι Δαρεῖον, καὶ ἑαυτȣ̀ς παραδȣ̃ναι [10], ὅ, τι καὶ βȣ́λοιτο πράττειν. Ὁ δὲ διέςησεν [11] ἄλλȣς ἄλλη· καὶ τȣ̀ς μὲν ἐπὶ τὰ τῆς Ἰνδικῆς [12] ὅρια ἀπέπεμψε [13], τȣ̀ς δὲ ἐπὶ τὰ Σκυϑικά. Καὶ ἐκεῖνοι ἔμειναν [14] αὐτῷ πιςοὶ, διὰ μνήμης ἔχοντες [15] τὴν εὐεργεσίαν.

1 ἀνήρ. 2 προμανϑάνω. 3 πτήσσω. 4 προστάσσω. 5 δράω. 6 ὁρμάω (wozu ihr geneigt oder entschlossen seid.) 7 ἀναςέλλω. 8 κατέχω. 9 ἀφάλλομαι. 10 παραδίδωμι. 11 διΐςημι. 12 scil. γῆς. 13 ἀποπέμπω. 14 μένω. 15 im Gedächtniß haben.

14. Macht der Gewohnheit.

Χιόνος ποτὲ πιπτȣ́σης, ἤρετο [1] ὁ βασιλεὺς τῶν Σκυϑῶν τινα, Εἰ ῥιγοῖ, γυμνὸν διακαρτερȣ̃ντα. Ὁ δὲ αὐτὸν ἀντήρετο [2], εἰ αὐτῷ τὸ μέτωπον ῥιγοῖ; τȣ̃ δὲ, Οὐ, φήσαντος, Οὐκȣ̃ν, εἶπεν, ȣ̓δὲ ἐγὼ· πᾶς γὰρ μέτωπον εἰμί.

1 ἔρομαι. 2 ἀντέρομαι.

15. Verwegenheit des Perdikkas.

Περδίκκας ὁ Μακεδὼν, ὁ συστρατευσάμενος Ἀλεξάνδρῳ, οὕτως ἄρα ἦν εὔτολμος, ὥς ποτε εἰς σπήλαιον παρελθεῖν, ἔνθα εἶχεν εὐνὴν λέαινα, μόνος. Καὶ τὴν μὲν λέαιναν οὐ κατέλαβε, τοὺς γε μὴν σκύμνους αὐτῆς κομίζων προῆλθε [1] καὶ ἔδοξεν [2] ἐπὶ τούτῳ θαυμάζεσθαι ὁ Περδίκκας. Πεπίστευται [3] δὲ οὐ μόνον παρὰ τοῖς Ἕλλησιν ἀλκιμώτατον τε καὶ δυσμαχώτατον εἶναι θηρίον ἡ λέαινα, ἀλλὰ καὶ παρὰ τοῖς βαρβάροις. Φασὶ γοῦν καὶ Σεμίραμιν τὴν Ἀσσυρίαν, οὐκ εἴποτε εἷλε [4] λέοντα, ἢ πάρδαλιν κατέκτανεν [5] ἢ ἄλλο τι τῶν τοιούτων, ἀλλ᾽ εἰ λεαίνης ἐγκρατὴς ἐγένετο, μέγα ἐφρόνει.

1 προέρχομαι. 2 δοκέω. 3 πιστεύω. 4 αἱρέω. 5 κατακτείνω.

16. Großmuth des Phocion.

Φωκίων ὁ τοῦ Φώκου [1], πολλάκις στρατηγήσας, κατεγνώσθη [2] θανάτῳ, καὶ ἦν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἔμελλε πιεῖσθαι [3] τὸ κώνειον. Ἐπεὶ δέ ὤρεξεν [4] ὁ δήμιος τὴν κύλικα, οἱ προσήκοντες ἤροντο [5], εἴ τι λέγοι πρὸς τὸν υἱόν. Ὁ δὲ, Ἐπισκήπτω αὐτῷ, μηδὲν Ἀθηναίοις μνησικακήσειν ὑπὲρ τῆς παρ᾽ αὐτῶν φιλοτησίας, ἧς νῦν πίνω. Ὅστις δὲ οὐκ ἐπαινεῖ καὶ ὑπερθαυμάζει τὸν ἄνδρα, δοκεῖ μοι μέγα ὁ τοιοῦτος ἐννοεῖν οὐδέν.

1 scil. υἱός. 2 καταγινώσκω. 3 πίνω. 4 ὀρέγω. 5 ἔρομαι.

IV.

Kriegsgeschichten. aus dem Polyän.

1. Vaterlandsliebe des Kodrus.

Ἀθηναίοις καὶ Πελοποννησίοις πόλεμος ἦν. Ὁ θεὸς ἔχρησε [1] νικᾷν Ἀθηναίους, εἰ ὁ βασιλεὺς αὐτῶν ἀποθάνοι πρὸς ἀνδρὸς Πελοποννησίου. Κόδρος ἦν Ἀθηναίων βασιλεύς· οἱ πολέμιοι τὸ λόγιον εἰδότες [2], κοινὸν αὐτοῖς ἦν παράγγελμα ἐν ταῖς μάχαις ἀπέχεσθαι Κόδρου· ὁ δὲ (ἦν γαρ ἑσπέρα) σχῆμα Φρυγανιστῆρος λαβὼν, τοῦ χάρακος [3] προελθὼν, ἔτεμνε τὴν ὕλην. ἔτυχον [4] δὲ καὶ Πελοποννήσιοι ἄνδρες κατὰ Φρυγανισμὸν ἥκοντες. Ἀψιμαχεῖ τούτοις Κόδρος, ὥστε καὶ τὸ δρέπανον ἐπ᾽ αὐτοὺς ἀνατεινάμενος ἔτρωσεν [5]· οἱ δὲ φθάσαντες [6] κατακαίνουσιν αὐτὸν τοῖς δρεπάνοις. καὶ γαννύμενοι ἀπηλλάγησαν [7], ὡς ἀνδραγάθημα δὴ πεποιηκότες. [8] Παιωνίσαντες Ἀθηναῖοι τοῦ λογίου πεπληρωμένου [9], θυμῷ καὶ ῥώμῃ πλείονι προΐασιν [10] ἐς μάχην.

1 χράω. 2 οἱ πολέμιοι εἰδότες statt der gewöhnlichern Construction mit den Genitiven τῶν πολεμίων εἰδότων. 3 χάραξ. 4 ἔτυχον ἥκοντες. sie kamen grade. 5 τιτρώσκω. 6 φθάνω. φθάσαντες κατακαίνουσιν sie tödteten ihn auf der Stelle. 7 ἀπαλλάσσω. 8 ποιέω. 9 πληρόω. 10 πρόειμι.

2. Arglist des Pisistratus.

Πεισίστρατος, Μεγακλεῖ διεπολιτεύετο, καὶ ἦν ὁ Μεγακλῆς ὑπὲρ τῶν πλουσίων τεταγμένος [1]. ὁ δὲ Πει-

Πεισίστρατος ὑπὲρ τῶν πενήτων. Καὶ δήποτε ἐν ἐκκλησίᾳ πολλὰ τῷ Μεγακλεῖ λοιδορησάμενος [2], καὶ ἀπειλήσας, ἀπηλλάγη [3]· κατατρώσας [4] δ᾽ ἑαυτὸν ἐ καιρίοις τραύμασι, τῆς ὑστεραίας προῆλθεν ἐπὶ τὴν ἀγορὰν, δεικνύων τοῖς Ἀθηναίοις ταῦτα. Ὁ δὲ δῆμος ὑπερηγανάκτησεν [5], ὡς ὁ κηδόμενος αὐτῶν δι᾽ αὐτοὺς ταῦτα εἴη παθὼν, καὶ ἐς φυλακὴν τοῦ σώματος ἔδωκεν [6] αὐτῷ τριακοσίους φύλακας. Οἷς κορυνηφόροις χρησάμενος [7] αὐτός τε τύραννος Ἀθηναίων ἐγένετο, καὶ τοῖς παισὶ τὴν τυραννίδα κατέλιπεν [8].

1 τάσσω. 2 λοιδορέω. 3 ἀπαλλάσσω. 4 κατατιτρώσκω. 5 ὑπεραγανακτέω. 6 δίδωμι. 7 χράομαι. 8 καταλείπω.

3. List des Agesilaus, um sich den Sieg zuzueignen.

Ἀγησίλαος πρὸς τοὺς Βοιωτοὺς παρετάξατο [1]· ἦν ἀμφίῤῥοπος ἡ νίκη. Νὺξ γὰρ διέλυσε [2] τὴν μάχην. ὁ δὲ μέσης νυκτὸς τοὺς πιστοτάτους διέπεμψε [3], κελεύσας, οὓς δύναιντο γνωρίσαι Σπαρτιάτας νεκροὺς, ἐπαμησαμένους [4] κόνιν ἀποκρύψαι· οἱ μὲν τοῦτο πράξαντες [5] πρὸ ἡμέρας ἀνεχώρησαν [6]. οἱ πολέμιοι, ἡμέρας γενομένης, τοὺς αὐτῶν νεκροὺς ἰδόντες ἅπαντας κειμένους, τοὺς δὲ τῶν Σπαρτιατῶν ὀλίγους, ἄθυμοι καὶ δειλότεροι ταῖς γνώμαις ἐγένοντο, ὡς Λακεδαιμονίων τὴν νίκην ἐχόντων.

1 παρατάσσω. 2 διαλύω. 3 διαπέμπω. 4 ἐπαμάομαι. 5 πράσσω. 6 ἀναχωρέω.

4. Wie

4. Wie Chabrias seinen Soldaten Muth eingesprochen.

Χαβρίας τοῖς στρατιώταις παρήγγειλεν [1]· ἐπειδὰν μέλλωμεν μάχεσθαι, μήτοι νομίζωμεν ὡς πολεμίοις συμβάλλοντες· ἀλλὰ ἀνθρώποις, αἷμα καὶ σάρκα ἔχουσι· καὶ τῆς αὐτῆς φύσεως ἡμῖν κεκοινωνηκόσι [2].

1 παραγγέλλω. 2 κοινωνέω.

5. Alexander beschämt seine aufrührerischen Soldaten.

Ἀλέξανδρος ἐκράτησε τῆς Ἀσίας· οἱ Μακεδόνες ἦσαν ἐπαχθεῖς αὐτῷ καὶ βαρεῖς [1]· καὶ πάντα, φασὶν, αὐτοῖς ἐβιάζοντο παρ' αὐτοῦ γίγνεσθαι. ὁ δὲ προσέταξεν [2] ὁπλισαμένους [3] ἰδίᾳ στῆναι [4] τοὺς Μακεδόνας· εἰς δὲ τοὐναντίον τοὺς Πέρσας· ἐπεὶ δὲ διέστησαν [5], ἐπιλέξασθε [6], οἱ Μακεδόνες, ἔφη, ὃν βούλεσθε ἡγεμόνων· ἐγὼ δὲ ἡγήσομαι [7] τῶν Περσῶν· ἢν μὲν νικήσητε [8], ποιήσω πάντα, ὅσα ἂν κελεύητε· ἢν δὲ ἡττηθῆτε [9], μαθόντες ὅτι οὐδὲν αὐτοὶ δύνασθε, τὴν ἡσυχίαν ἄγετε. Τὸ στρατήγημα ἐξέπληξε [10] τοὺς Μακεδόνας· καὶ τοῦ λοιποῦ [11] πρὸς τὸν Ἀλέξανδρον ἐγένοντο μετριώτεροι.

1 βαρύς. 2 προστάσσω. 3 ὁπλίζω. 4 ἵστημι. 5 διΐστημι. 6 ἐπιλέγω. 7 ἡγέομαι. 8 νικάω. 9 ἡττάομαι. 10 ἐκπλήττω. 11 (διὰ) τοῦ λοιποῦ scil. χρόνου die übrige Zeit hindurch.

6. Alexanders Beispiel für sein Heer.

Ἀλέξανδρος τὴν ἄνυδρον [1] ὁδεύων, αὐτός τε ὑπὸ δίψους ἐπόνει, καὶ οἱ Μακεδόνες. οἱ κατάσκο-

ποι

ποι τῆς χώρας, ἐν κοίλῃ πέτρᾳ σμικρὸν ὑδάτιον εὑρόντες [2], τῦτο βάλλοντες ἐπὶ κράνος Ἀλεξάνδρῳ κομίζυσιν. Ὁ δὲ τῇ ϛρατιᾷ δείξας [3] ὡς εὐθυμεῖν χρὴ, φανέντος [4] ὕδατος, αὐτὸς μὴ πιὼν [5] ἐξέχεε [6] τὸ κράνος, πάντων ὁρώντων. Οἱ Μακεδόνες ἀλαλάζοντες, ἐκέλευον αὐτὸν ἡγεῖσθαι τῆς ὁδῦ, πρὸς τὸ δίψος εὐρώϛως ἀντέχοντες διὰ τὴν τῦ βασιλέως ἐγκράτειαν.

1 scil. γῆν. 2 εὑρίσκω. 3 δείκνυμι. 4 φαίνω. 5 πίνω. 6 ἐκχέω.

7. Kyrus bewegt die Perser zum Abfall von den Medern.

Κῦρος Πέρσας ἀποϛῆναι [1] Μήδων ἔπεισεν [2] ὧδε· δείξας χωρίον αὐτοῖς ἀργὸν καὶ ἀκανθῶδες, ἐκέλευσεν ἡμερῶσαι [3]. Οἱ δὲ σὺν πολλῷ πόνῳ ἡμέρωσαν. Τῆς ὑϛεραίας ἐκέλευσε λυσαμένυς [4] ἥκειν. Ἐπεὶ δὲ ἧκον, προέθηκεν [5] αὐτοῖς εὐωχίαν ἄφθονον. Καὶ μετὰ τὴν εὐωχίαν ἤρετο [6], ποτέρα κρείσσων ἡμέρα. Οἱ δὲ ὡμολόγησαν [7] τῆς χθὲς [8] τὴν σήμερον τόσῳ κρείττονα ὅσῳ κακοδαιμονίας εὐδαιμονίαν· ὑκῦν, ὁ Κῦρος ἔφη, τὰ τῆς εὐδαιμονίας ἀγαθὰ ἕξετε [9], εἰ τῆς Μήδων δυλείας ἀποϛῆτε. Πέρσαι μὴ μελλήσαντες [10] ἀφίσανται καὶ βασιλέα Κῦρον ϛησάμενοι [11], αὐτὺς τε Μήδυς κατέλυσαν [12], καὶ τῆς Ασίας ἄλλης ἦρξαν [13].

1 ἀφίϛημι. 2 πείθω. 3 ἡμερόω. 4 λούω. 5 προτίθημι. 6 ἔρομαι. 7 ὁμολογέω. 8 scil. ἡμέρας. 9 ἔχω. 10 μέλλω. 11 ἵϛημι. 12 καταλύω. 13 ἄρχω.

8. Ein sonderbares Felleisen.

Ἅρπαγος ἐπιςολὴν Κύρῳ κρύφα πέμπων, ἀνέσχισε[1] λαγὼν, καὶ τὰ γράμματα ἔνδον κατακρύψας[2], πάλιν αὖθις συνέῤῥαψε[3], καὶ τῷ κομίζοντι λίνα θηρατικὰ περιέθηκεν, ἵνα λάθῃ[4] τȣ̀ς φύλακας τῶν ὁδῶν.

1 ἀνασχίζω. 2 κατακρύπτω. 3 συῤῥάπτω. 4 λανθάνω.

9. Seltnes Beispiel des Diensteifers für seinen König.

Δαρεῖος πολιορκῶν Βαβυλῶνα, χρόνῳ μακρῷ τὴν πόλιν ἑλεῖν[1] ȣ̓χ οἷός τε ἦν. Ζώπυρος Δαρείȣ σατράπης ἀκρωτηριάσας τὸ πρόσωπον, ἧκεν αὐτόμολος, ὡς ταῦτα δὴ ὑπὸ Δαρείȣ παθών[2]. Βαβυλώνιοι πιςεύȣσι τῇ ὄψει τῆς συμφορᾶς, καὶ τῷ Ζωπύρῳ τὴν πόλιν ἐπιτρέπȣσιν· ὁ δὲ νύκτωρ ἀνοίγει τὰς πύλας, καὶ Δαρεῖος κρατήσας Βαβυλῶνος, ἐκεῖνο δὴ τὸ λαμπρὸν ἐφθέγξατο[3]· ἀλλ' ȣ̓δὲ εἴκοσι Βαβυλῶνας ἔχειν ἐβȣλόμην ἂν, ἐφ' ᾧτε[4] ὁρᾷν τοιαῦτα παθόντα Ζώπυρον.

1 αἱρέω. 2 πάχω. 3 φθέγγομαι. Er that jenen herrlichen Ausspruch. 4 (unter der Bedingung — zu sehn.)

10. Amulius und Numitor.

Ἀμȣ́λιος καὶ Νομήτωρ ἀδελφοί· νεώτερος Ἀμȣ́λιος δυνάμει βιασάμενος[1], βασιλεὺς Ἄλβης ἐγένετο, τὸν μὲν δὴ Νομήτορα τὸν ἀδελφὸν ἐφρȣ́ρει[2], θυγατέρα δὲ αὐτȣ̃ Σιλȣΐαν, ἵνα μὴ παῖδες

ἐξ

ἐξ αὐτῆς γένοιντο, τιμωροὶ τῆς Ἀμουλίου παρανομίας, ἀπέφηνεν [3] ἱερείαν τῆς Ἑστίας· ἐπειδὴ νόμος ταῖς Ἑστιάσιν ἀεὶ παρθενεύεσθαι.

1 βιάζομαι. 2 φρουρέω. 3 ἀποφαίνω.

11. Treulosigkeit und Edelmuth.

Κάμιλλος Φαλερίοις ἐπολέμει· τῶν Φαλερίων παίδων ὁ διδάσκαλος, προαγαγὼν αὐτοὺς ἔξω τείχους, ὡς γυμνασομένους, παρέδωκε [1] Ῥωμαίοις. Κάμιλλος δε ἀσεβῆ τὴν τοῦ διδασκάλου προδοσίαν ἡγησάμενος [2], προσέταξεν, ὀπίσω τὼ χεῖρε [3] αὐτοῦ περιαχθῆναι [4], καὶ δεθῆναι [5], καὶ τοῖς παισὶν ἐπέτρεψεν [6] ἀπάγειν τὸν προδότην ὡς τοὺς πατέρας. Φαλέριοι τὸν μὲν διδάσκαλον αἰκισάμενοι [7] κατέφθειραν [8]· τοῦ δὲ Καμίλλου θαυμάσαντες τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην, σφᾶς αὐτοὺς ἄνευ μάχης παρέδωκαν. Κάμιλλος δὲ τοὺς πολλῷ χρόνῳ ἁλῶναι [9] μὴ δυναμένους, εὐσεβεῖ στρατηγήματι παρεστήσατο [10].

1 παραδίδωμι. 2 ἡγέομαι. 3 τὼ χεῖρε der Dualis von χείρ. 4 περιάγω. 5 δέω. 6 ἐπιτρέπω. 7 αἰκίζω. 8 καταφθείρω. 9 ἁλίσκω. das im zweiten Aorist passive Bedeutung hat. 10 παρίσταμαι.

12. Mucius Scävola.

Τυῤῥηνοὶ Ῥωμαίοις ἐπολέμουν. Τυῤῥηνῶν βασιλεὺς ἦν Πορσίνας· Ῥωμαίων ἦρχε [1] Ποπλικόλας, τρίτον ὑπατεύων. Μούκιος Ῥωμαῖος ἀνὴρ, ἄριστος τὰ πολέμια, Πορσίναν βουλόμενος ἀνελεῖν [2], ἐς τὸ Τυῤῥηνικὸν στρατόπεδον ἦλθεν, ἐσθῆτα ἔχων Τυῤῥη-

νίδα.

νίδα, καὶ τῇ φωνῇ Τυῤῥηνίζων· καὶ δὴ παρελθὼν ἐπὶ τὸ βῆμα, τὸν βασιλέα τον Πορσίναν ἐκ εἰδὼς ὅςις ἦν, ὃν ᾠήθη [3] μάλιςα τῶν καθεζομένων ἐοικέναι [4] βασιλεῖ, τἕτον ἔκτεινε, σπασάμενος [5] τὸ ξίφος· συλληφθεὶς [6] ὡμολόγησεν [6] ὅςις ἦν. Πορσίνας μὲν δὴ ἔθυεν ἐπὶ τῇ σωτηρίᾳ τοῖς θεοῖς. Μἕκιος δὲ, τῆς ἐσχάρας πῦρ ἐχἕσης, ὑπερέχε τὴν χεῖρα τὴν δεξιὰν, καὶ τῆς χειρὸς καιομένης εἰςήκει [7], τῷ Πορσίνᾳ διαλεγόμενος φαιδρῷ καὶ ἀτρέπτῳ τῷ πρoσώπῳ· ὡς δὲ Πορσίνας τὴν ἀρετὴν ὑπερεθαύμαζε, Μἕκιος, Μηδαμῶς, ἔφη, θαυμάσης· τριακόσιοι Ῥωμαῖοι τὴν αὐτὴν ἐμοί καρτερίαν ἔχοντες ἐν τῷ ςρατοπέδῳ σἕ πλανῶνται, παραφυλάσσοντες καιρὸν τῆς σῆς ἀναιρέσεως. Πορσίνας πιςεύσας τοῖς λεγομένοις, καὶ φοβηθεὶς [9] τὸν πόλεμον πρὸς Ῥωμαίἕς διελύσατο [10].

1 ἄρχω. 2 ἀναιρέω. 3 οἴομαι. 4 εἴκω. 5 σπάω. 6 συλλαμβάνω. 7 ὁμολογέω. 8 ἵςημι. 9 φοβέομαι. 10 διαλύω.

13. Atilius Regulus.

Ἀτίλιος [1] ἁλἕς [2] ὑπὸ Καρχηδονίων, ὤμοσεν [3] αὐτοῖς, ἣν ἀφεθῇ [4], πεῖσαι [5] ἂν τὴν σύγκλητον, διαλύσασθαι τὸν πόλεμον· μὴ πείσας δὲ ὡς αὐτἕς ἀναςρέψαι [6]. Ἀφικόμενος [7] ἐς Ῥώμην, τἕναντίον ἔπεισε τὴν σύγκλητον· τῆς δὲ συγκλήτἕ παρακαλἕσης αὐτὸν μένειν, καὶ τὸν ἐν ταῖς ἀνάγκαις ὅρκον ἀνώμοτον ἡγεῖσθαι, περιπλεκομένων τέκνων, γυναικὸς, φίλων, συγγενῶν, ἐχ ὑπέμεινε παραβῆναι [8] τὸν ὅρκον· πλεύσας [9] δὲ ὡς τἕς Καρχηδονίἕς, ἀνήγγειλεν [10] αὐτοῖς, τὸ τε αὐτἕ ςρατήγημα, καὶ τὴν Ῥωμαίων γνώμην· οἱ δὲ καθείρξαντες [11]

αὐτὸν

αὐτὸν ἐς γαλεάγραν, αἰκίσαντές [12] τε χρόνῳ μακρῷ, καὶ βασανίσαντες [12] ἔκτειναν.

1 eben der, der unter dem Namen Regulus bekannter ist. 2. ἁλίσκω. 3 ὄμνυμι. 4 ἀφίημι. 5 πείθω. 6 ἀναςρέφω. 7 ἀφικνέομαι. 8 παραβαίνω. 9 πλέω. 10 ἀναγγέλλω. 11 καθείργω. 12 αἰκίζω. 13 βασανίζω.

14. Cäsars abgehärtete Soldaten.

Καῖσαρ ἐν λιμῷ τοῖς ςρατιώταις ἄρτυς διέδωκε [1], σκευάσας [2] ἐκ βοτάνης· Πομπήϊος δὲ πολεμῶν πρὸς αὐτὸν ἕνα ἄρτον προσενεχθέντα [3] τοιῦτον, ἀπέκρυψεν, ὐ βυλόμενος τοῖς ἑαυτῦ ςρατιώταις ἐπιδεῖξαι [4] τὴν τῶν πολεμίων ἐγκράτειαν.

1 διαδίδωμι. 2 σκευάζω. (ich lasse zubereiten). 3 προσφέρω. 4 ἐπιδείκνυμι.

15. Die zerfetzten schönen Gesichter.

Καῖσαρ Πομπηΐῳ παρετάσσετο περὶ Φάρσαλον· ὁρῶν δὲ πολλὺς τῶν πολεμίων νέυς καὶ καλὺς ἐπὶ τῷ κάλλει φρονῦντας, καὶ σοβαρὺς, παρήγγειλε [1] τοῖς ἰδίοις ςρατιώταις, τὰς λόγχας καὶ τὺς ὑσσὺς μὴ φέρειν ἐπὶ τὰ σώματα τῶν πολεμίων, ἀλλ' ἐς αὐτὰ τὰ πρόσωπα· οἱ δὲ λωβηθῆναι [2] τὸ κάλλος τῶν προσώπων φοβηθέντες [3], καὶ δὴ ἀποςραφέντες [4] ἔφυγον [5].

1 παραγγέλλω. 2 λωβάομαι. scil. κατά. 3 φοβέομαι. 4 ἀποςρέφω. 5 φεύγω.

16. Abgezwungene Tapferkeit.

Ἰφικράτης ἐν πεδίῳ μεγάλῳ παρετάττετο[1]. οἱ πολέμιοι, πολλῷ πλείους[2] ὄντες, προσέβαλον· ὁ δὲ κατόπιν τῶν αὑτοῦ στρατιωτῶν τάφρον βαθεῖαν ὤρυξεν[3]· ὡς, μὴ φυγῆς ἐλπίδας ἔχοντες, γενναιότερον ἀγωνίζοιντο μένοντες.

1 παρατάσσω, attisch παρατάττω. 2 zusammengezogen statt πλειονες. 3 ὀρύσσω.

17. Raub der Sabinerinnen.

Ῥωμύλος, Ῥωμαίων γυναῖκας οὐκ ἐχόντων, ἐκήρυξεν[1] ἀνὰ τὰς γείτονας πόλεις, ὡς ἑορτὴν ἄξοι[2] δημοτελῆ Ποσειδῶνος Ἱππείου, καὶ ἀγῶνας ἵππων ἐπὶ ἄθλοις μεγίστοις· πολλοὶ δὴ συνῆλθον ἐκ τῶν πόλεων ἐπὶ τὴν θέαν, πᾶν γένος ἀνδρῶν, γυναικῶν, παρθένων. Ῥωμύλος παράγγελμα ἔδωκεν, ἀπέχεσθαι μὲν ἀνδρῶν καὶ γυναικῶν· ἁρπάζειν δὲ μόνας παρθένους ἐς γάμον.

1 κηρύσσω. 2 ἄγω.

18. Unterschied der rechten und linken Hand.

Σκηπίων[1] στρατιώτην ἰδὼν μέγα φρονοῦντα ἐπὶ θυρεῷ κεκοσμημένῳ[2], Αἰσχρὸν, ἔφη, Ῥωμαῖον ἄνδρα τῇ ἀριστερᾷ[3] μᾶλλον ἢ τῇ δεξιᾷ πιστεύειν.

1 Scipio. 2 κοσμέω. 3 denn mit der linken Hand ward der Schild festgehalten.

19. Koriolans Ehrfurcht gegen seine Mutter.

Ῥωμαῖοι Κοριολανὸν ἐδίωξαν [1]. ὁ δὲ φυγὰς ἧκεν ὡς [2] Τυῤῥηνὴν, νίκην κατὰ Ῥωμαίων ὑπισχνούμενος· πιστεύουσι Τυῤῥηνοί, καὶ στρατηγὸν ἀποφαίνουσιν· ὁ δὲ νικήσας [3] ἐν μάχαις πολλαῖς, τέλος [4] ἐπ' αὐτὴν ἐφέρετο τὴν πόλιν, αἱρήσων κατὰ κράτος. Ῥωμαίων αἱ μητέρες (ἡγεῖτο δὲ αὐτῶν Οὐετουρία [5], μήτηρ Κοριολανοῦ) προελθοῦσαι τῆς πόλεως ἀπήντων [6] τοῖς πολεμίοις ὡπλισμένοις [7]. Καὶ Κοριολανῷ προσπεσοῦσαι [8] ἱκετηρίας προΐσχουσι. Τὸ δὲ κεφάλαιον τῆς ἱκεσίας ἦν· Εἰ μὲν τὴν πόλιν αἱρεῖν ἔγνωκας [9], πρότερον τὴν μητέρα τὴν σὴν, καὶ πάσας τὰς Ῥωμαίων μητέρας ἀπόκτεινον· Κοριολανὸς ἔπαθεν [10], ἐδάκρυσεν, ἀνέζευξεν [11]. Ἡ μὲν ἀνάζευξις εὐσεβής· ὀλέθριος δὲ τῷ στρατηγῷ. Τυῤῥηνοὶ γὰρ, ὡς προδόντα νίκην φανερὰν, ἐψηφίσαντο θανάτῳ κολασθῆναι [12].

1 διώκω. 2 ὡς für εἰς. 3 νικάω. 4 (κατὰ) τέλος endlich. 5 Veturia. Die Griechen drükken das V der Lateiner, weil sie nicht ganz denselben Buchstaben haben, durch Ου oder Β aus. 6 ἀπαντάω. 7 ὁπλίζω. 8 προσπίπτω. 9 γινώσκω. 10 πάσχω. Er ward gerührt. 11 ἀναζεύγνυμι. 12 κολάζω.

V.

Anekdoten aus dem Diogenes Laertius.

Bias.

Βίας συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς, κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, Σιγᾶτε, ἔφη, μὴ αἴσθωνται * ὑμᾶς ἐνθάδε πλέοντας.

* αἰσθάνομαι.

Zeno.

Πρὸς τὸ φλυαροῦν μειράκιον, Διὰ τοῦτο, εἶπε Ζήνων, δύο ὦτα ἔχομεν, στόμα δὲ ἓν, ἵνα πλείω * μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν.

* zusammengezogen statt πλείονα.

Diogenes.

1. Πλάτωνος ὁρισαμένου [1] · Ἄνθρωπος ἐστὶ ζῶον δίπουν ἄπτερον, καὶ εὐδοκιμοῦντος, Διογένης τίλας [2] ἀλεκτρυόνα εἰσήνεγκεν [3] εἰς τὴν σχολὴν αὐτοῦ, καὶ φησὶν, Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος.

1 ὁρίζω. 2 τίλλω. 3 εἰσφέρω.

2. Πρὸς τὸν πυθόμενον *, ποίᾳ ὥρᾳ δεῖ ἀριστᾷν; Εἰ μὲν πλούσιος, ἔφη, ὅταν θέλῃ · εἰ δὲ πένης, ὅταν ἔχῃ. —

* πυνθάνομαι.

3. Πρὸς

3. Πρὸς τὸν ἐντινάξαντα[1] αὐτῷ τὴν δοκὸν, εἶτα εἰπόντα, Φύλαξαι[2], Πάλιν γάρ με, ἔφη, παίειν μέλλεις; —

1 ἐντινάσσω. 2 φυλάσσω.

4. Πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα[1] αὐτοῦ δοῦλον ζητεῖν, Γελοῖον, ἔφη, εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ[2], Διογένης δὲ χωρὶς Μάνου οὐ δύναται.

1 ἀποδιδράσκω. 2 ζάω.

5. Λύχνον μεθ' ἡμέραν ἅψας[*], Ἄνθρωπον, φησὶ, ζητῶ.

* ἅπτω.

6. Διογένης εἰς Μύνδον ἐλθὼν[1], καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, Ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε[2] τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ.

1 ἔρχομαι. 2 κλείω.

7. Ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα[*], Οὐκ αἰσχύνῃ, ἔφη, ἐξ ἐλεφαντίνου κολεοῦ μολιβδίνην ἕλκων μάχαιραν;

* λαλέω.

8. Διογένης ἄσωτον ᾔτει[1] μνᾶν· πυθομένου δὲ, διὰ τί τοὺς μὲν ἄλλους ὀβολὸν αἰτεῖ, αὐτὸν δὲ μνᾶν; Ὅτι, εἶπε, παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν, παρὰ δὲ σοῦ, θεῶν ἐν γούνασι κεῖται,[2] εἰ πάλιν λήψομαι[3].

1 αἰτέω. 2 (es steht bei den Göttern). 3 λαμβάνω.

9. Ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν [1], εἰπών· Ἵνα μὴ πληγῶ [2].

1 καθίζω. 2 πλήσσω.

10. Διογένης πλέων εἰς Αἴγιναν, καὶ πειραταῖς ἁλοὺς [1] εἰς Κρήτην ἀπαχθεὶς [2] ἐπιπράσκετο· καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί οἶδε [3] ποιεῖν, ἔφη, Ἀνθρώπων ἄρχειν· καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, Ξενιάδην, ἔφη· Τούτῳ με πώλει, οὗτος δεσπότου χρήζει· ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης, καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον, ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις, καὶ πᾶσαν ἐνεχείρισε [4] τὴν οἰκίαν· ὁ δὲ οὕτως αὐτὴν ἐν πᾶσι διετίθει [5], ὥστε ἐκεῖνος περιιὼν [6], Ἀγαθὸς, ἔλεγε, δαίμων, εἰς τὴν οἰκίαν μου εἰσελήλυθε [7].

1 ἁλίσκω. 2 ἀπάγω. 3 εἰδέω. 4 ἐγχειρίζω. 5 διατίθημι. 6 περίειμι. 7 εἰσέρχομαι.

Genügsamkeit des Diogenes aus dem Simplicius.

Διογένης σκύφος ξύλινον ἀεὶ περιφέρων ἐν τῇ πήρᾳ, ᾧ τὸ ὕδωρ ἀρυόμενος ἔπινεν, ἐπειδὴ ποταμὸν διαβαίνων ἐθεάσατό τινα ταῖς χερσὶν ἀρυόμενον καὶ πίνοντα, ἔῤῥιψε [1] τὸ σκύφος εἰς τὸν ποταμὸν, εἰπὼν, μηκέτι δεῖσθαι [2] αὐτοῦ, τῶν χειρῶν τὴν χρείαν ποιουσῶν.

1 ῥίπτω. 2 δέομαι.

VI.

Erzählungen aus dem Plutarch.

1. Diogenes und Alexander.

Εἰς τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων καὶ ψηφισαμένων [1] ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη [2] Ἀλέξανδρος· πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων [3] αὐτῷ καὶ συνηδομένων, ἤλπιζε [4] καὶ Διογένη ταὐτὸ [5] ποιήσειν, διατρίβοντα περὶ Κόρινθον· ὡς δὲ ἐκεῖνος ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων [6], ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν [7], αὐτὸς ἐπορεύετο πρὸς αὐτόν· ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ, καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν [8] εἰς τὸν Ἀλέξανδρον· ὡς δὲ ἐκεῖνος ἀσπασάμενος [9] καὶ προσειπὼν αὐτὸν ἠρώτησεν [10], εἴ τινος τυγχάνει δεόμενος· Μικρὸν, εἶπεν, ἀπὸ τοῦ ἡλίου μετάστηθι [11]. πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι [12], καὶ θαυμάσαι τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρὸς, ὥστε, τῶν περὶ αὐτὸν, ὡς ἀπῄεσαν [13], διαγελώντων καὶ σκωπτόντων· Ἀλλὰ μὴν ἐγὼ, εἶπεν, εἰ μὴ Ἀλέξανδρος ἤμην [14], Διογένης ἂν ἤμην.

1 ψηφίζω. 2 ἀναγορεύω. 3 ἀπαντάω. 4 ἐλπίζω. 5 statt τὸ αὐτό. 6 da er sich wenig um den Alexander bekümmerte. 7 ἄγω. 8 διαβλέπω. 9 ἀσπάζομαι. 10 ἐρωτάω. 11 μεθίστημι. 12 διατίθημι. 13 ἄπειμι. 14 εἰμί. (Imperf. Med.)

2. Der gefundene Schatz.

Σεμίραμις, ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν, ὅςις ἂν χρημάτων δεηθῇ [1] βασιλεὺς, διελόντα [2] τὸ μνημεῖον, ὅσα βȣ́λεται, λαβεῖν. Δαρεῖος ȣ̃ν διελὼν, χρήματα μὲν ȣ̓χ εὗρε [3], γράμμασι δὲ ἑτέροις ἐνέτυχε [4] τάδε φράζȣσιν· Εἰ μὴ κακὸς ἦσθ᾽ [5] ἀνὴρ καὶ χρημάτων ἄπληςος, ȣ̓κ ἂν νεκρῶν θήκας ἐκίνεις.

1 δέομαι. 2 διαιρέω. 3 εὑρίσκω. 4 ἐντυγχάνω. 5 εἰμί.

3. Brüderliche Einigkeit.

Σκίλȣρος ὀγδοήκοντα παῖδας ἄῤῥενας ἀπολιπὼν, ἐπεὶ τελευτᾷν ἔμελλε, δέσμην ἀκοντίων ἑκάςῳ προτείνων, ἐκέλευσε καταθραῦσαι· πάντων δ᾽ ἀπαγορευσάντων, καθ᾽ ἓν αὐτὸς ἐξελὼν [1] ἀκόντιον, ἅπαντα ῥαδίως συνέκλασε [2], διδάσκων ἐκείνȣς, ὅτι συνεςῶτες [3] ἰσχυροὶ διαμενȣ̃σιν, ἀσθενεῖς δ᾽ ἔσονται [4] διαλυθέντες [5] καὶ ςασιάσαντες [6].

1 ἐξαιρέω. 2 συγκλάω. 3 συνίςημι. 4 εἰμί. 5 διαλύω. 6 ςασιάζω.

4. Zwei sehr verschiedne Könige.

Ατέας ἔγραφε πρὸς τὸν Φίλιππον· Σὺ μὲν ἄρχεις Μακεδόνων, ἀνθρώπων μεμαθηκότων [1] πολεμεῖν· ἐγὼ δὲ Σκυθῶν, οἳ καὶ λιμῷ καὶ δίψει μάχεσθαι δύνανται. Τȣ̀ς δὲ πρέσβεις τȣ̃ Φιλίππȣ, ψήχων τὸν ἵππον, ἠρώτησεν, εἰ τȣ̃το ποιεῖ Φίλιππος· Ἰσμηνίαν δὲ, τὸν ἄριςον αὐλητὴν, λαβὼν αἰχμάλωτον, ἐκέλευσεν αὐλῆσαι [2]. Θαυμαζόντων [3]

δὲ

δὲ τῶν ἄλλων, αὐτὸς ὤμοσεν [4] ἥδιον ἀκȣ́ειν τȣ̃ ἵππȣ χρεμετίζοντος.

1 μανθάνω. 2 αὐλέω. 3 scil. τὸν Ἰσμενίαν αὐλȣ̃ντα. 4 ὀμνύω.

5. Der Töpfersohn auf dem Thron.

Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως [1]· γενόμενος δὲ κύριος Σικελίας, καὶ βασιλεὺς ἀναγορευθεὶς [2], εἰώθει [3] κεράμεα ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, ὅτι τοιαῦτα [4] ποιῶν πρότερον, νῦν ταῦτα [5] ποιεῖ [6] διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρίαν.

1 κεραμεύς. 2 ἀναγορεύω. 3 ἔθω. 4 nehmlich die irrdenen. 5 die goldnen Becher. 6 die Griechen drükken sich öfters so aus, als wenn einer etwas gemacht, was er nur machen lassen.

6. Ehrgeiz des jungen Alexander.

Ἀλέξανδρος ἔτι παῖς ὤν, πολλὰ τȣ̃ Φιλίππȣ κατορθȣ̃ντος [1], ȣ̓κ ἔχαιρεν, ἀλλὰ πρὸς τȣ̀ς συντρεφομένȣς ἔλεγε παῖδας· Ἐμοὶ δὲ ὁ πατὴρ ȣ̓δὲν ἀπολείψει [2]. Τῶν δὲ παίδων λεγόντων, ὅτι [3] Ταῦτα σοὶ κτᾶται [4], Τί δ᾽ ὄφελος (εἶπεν) ἐὰν ἔχω μὲν πολλὰ, πράξω [5] δὲ ȣ̓δέν; — Ἐλαφρὸς δ᾽ ὢν καὶ ποδώκης, καὶ παρακαλȣ́μενος ὑπὸ τȣ̃ πατρὸς Ὀλυμπία [6] δραμεῖν [7] ςάδιον· Εἴ γ᾽ (ἔφη,) βασιλεῖς ἕξειν [8] ἔμελλον ἀνταγωνιςάς.

1 κατορθόω. 2 ἀπολείπω. 3 Ὅτι wird öfters gesetzt, wenn jemandes Worte angeführt werden. 4 κτάομαι. 5 πράσσω. 6 Ὀλυμπία steht adverbialisch; man muß hinzu denken κατὰ. In den Olympischen Spielen. 7 τρέχω. 8 ἔχω.

7. Wenn hören Könige die Wahrheit?

Ἀντίοχος ἔν τινι κυνηγεσίῳ καὶ διωγμῷ τῶν φίλων καὶ θεραπόντων ἀποπλανηθεὶς [1], εἰς ἔπαυλιν πενήτων ἀνθρώπων ἀγνοούμενος εἰσῆλθε· καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν λόγον περὶ τοῦ βασιλέως, ἤκουσεν [2], ὅτι τἄλλα [3] χρηστὸς ἐστὶ, φίλοις δὲ μοχθηροῖς ἐπιτρέπων τὰ πλεῖστα παρορᾷ, καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ λίαν φιλόθηρος εἶναι. τότε μὲν οὖν ἐσιώπησεν· ἅμα δὲ ἡμέρᾳ τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν, φανερὸς γενόμενος, προσφερομένης τῆς πορφύρας αὐτῷ καὶ τοῦ διαδήματος· Ἀλλὰ ἀφ᾽ ἧς (εἶπεν) ἡμέρας ὑμᾶς ἀνείληφα [4], πρῶτον ἐχθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ.

1 ἀποπλανάομαι. 2 ἀκούω. 3 statt (κατὰ) τὰ ἄλλα 4 ἀναλαμβάνω.

8. Alkibiades und sein Hund.

Ἀλκιβιάδης, ὄντος κυνὸς αὐτῷ θαυμαστοῦ τὸ μέγεθος καὶ τὸ εἶδος, ὃν ἑβδομήκοντα μνῶν [1] ἐωνημένος [2] ἐτύγχανεν, ἀπέκοψε [3] τὴν οὐρὰν, πάγκαλον οὖσαν [4]· ἐπιτιμώντων δὲ τῶν συνήθων, καὶ λεγόντων, ὅτι πάντες ἐπὶ τῷ κυνὶ δάκνονται καὶ λοιδοροῦσιν αὐτὸν, ἐπιγελάσας, Γίνεται τοίνυν, εἶπεν, ὃ βούλομαι· βούλομαι γὰρ Ἀθηναίους τοῦτο λαλεῖν, ἵνα μή τι χεῖρον περὶ ἐμοῦ λέγωσι.

1 μνᾶ. Bei den Wörtern die ein kaufen oder etwas ähnliches bedeuten, wird öfters die Präposition ἀντὶ (für) ausgelassen. 2 ὠνέομαι. 3 ἀποκόπτω. 4 εἰμί.

9. Der gerechte Aristides.

Ἀριϛείδης ἐκτήσατο [1] τὴν βασιλικωτάτην, καὶ θειοτάτην προσηγορίαν τȣ̃ Δικαίȣ. Γραφομένων δὲ ποτὲ τῶν ὀϛράκων [2], λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων, ἀναδόντα [3] τῷ Ἀριϛείδῃ τὸ ὄϛρακον, ὡς ἑνὶ τῶν τυχόντων [4], παρακαλεῖν, ὅπως Ἀριϛείδην ἐγγράψῃ [5]. τȣ̃ δὲ θαυμάσαντος [6] καὶ πυθομένȣ [7], μή τι κακὸν αὐτῷ Ἀριϛείδης πεποίηκεν [8]· Οὐδὲν, εἶπεν· ȣ̓δὲ γινώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλȣ̃μαι, πανταχȣ̃ τὸν Δίκαιον ἀκȣ́ων. Ταῦτ' ἀκȣ́σαντα τὸν Ἀριϛείδην, ἀποκρίνασθαι μὲν ȣ̓δὲν, ἐγγράψαι δὲ τȣ̓́νομα τῷ ὀϛράκῳ καὶ ἀποδȣ̃ναι· τῆς δὲ πόλεως ἀπαλλαττόμενος ἤδη τὰς χεῖρας ἀνατείνας εἰς τὸν ȣ̓ρανὸν, ηὔξατο [9], μηδένα καιρὸν Ἀθηναίȣς καταλαβεῖν, ὃς ἀναγκάσει τὸν δῆμον Ἀριϛείδȣ μνησθῆναι [10].

1 κτάομαι. 2 d. i. da das Scherbengericht gehalten ward, durch welches in Athen öfters ein angesehner Mann auf 10 Jahr aus der Stadt verbannt wurde, meistentheils ohne weitere Ursache, als weil man befürchtete, er dürfte vielleicht zu mächtig werden. 3 ἀναδίδωμι. 4 τυγχάνω. als einem, den die Sache nichts anginge. Denn ὁ τυχὼν heißt der erste beste 5 ἐγγράφω. 6 θαυμάζω. 7 πυνθάνομαι. 8 ποιέω. 9 εὔχομαι. 10 μνάομαι.

10. Die sieben Weisen.

Κώων καταγόντων σαγήνην, καὶ ξένων ἐκ Μιλήτου πριαμένων τὸν βόλον ȣ̓́πω φανερὸν ὄντα, χρυσȣ̃ς ἐφάνη [1] τρίπους ἑλκόμενος, ὃν λέγουσιν Ἑλένην πλέουσαν ἐκ Τροίας αὐτόθι καθεῖναι [2]. Γενομένης δὲ τοῖς ξένοις πρῶτον ἀντιλογίας πρὸς τȣ̀ς

ἁλιέ-

ἁλιέας περὶ τȣ͂ τρίποδος, εἶτα τῶν πόλεων ἀναδεξαμένων [3] τὴν διαφορὰν ἄχρι πολέμου προελθοῦσαν [4], ἀνεῖλεν [5] ἀμφοτέροις ἡ Πυθία, τῷ σοφωτάτῳ τὸν τρίποδα ἀποδȣ͂ναι· [6] καὶ πρῶτον μὲν ἀπεστάλη [7] πρὸς Θαλῆν εἰς Μίλητον, ἑκȣσίως Κώων ἑνὶ δωρουμένων ἐκείνῳ, περὶ ȣ͂ πρὸς ἅπαντας ὁμȣ͂ Μιλησίȣς ἐπολέμησαν. Θάλεω δὲ Βίαντα σοφώτερον ἀποφαίνοντος αὐτȣ͂ πρὸς ἐκεῖνον ἧκεν [8], ἀπ᾽ ἐκείνȣ δὲ αὖθις ἀπεστάλη [9] πρὸς ἄλλον ὡς σοφώτερον· εἶτα περιϊὼν καὶ ἀναπεμπόμενος ȣ̔́τως, ἐπὶ Θαλῆν τὸ δεύτερον ἀφίκετο [10], καὶ τέλος εἰς Θήβας ἐκ Μιλήτου κομισθεὶς [11], τῷ Ἰσμηνίῳ Ἀπόλλωνι καθιερώθη [12]. Θεόφραστος δὲ φησὶ πρῶτον μὲν εἰς Πριήνην Βίαντι τὸν τρίποδα πεμφθῆναι [13], δεύτερον δ᾽ εἰς Μίλητον Θάλῃ Βίαντος ἀποπέμψαντος· ȣ̔́τω δὲ διὰ πάντων πάλιν εἰς Βίαντα περιελθεῖν, τέλος δὲ εἰς Δελφȣ̀ς ἀποσταλῆναι [14].

1 φαίνω. 2 καθίημι. 3 ἀναδέχομαι. 4 προέρχομαι. 5 ἀναιρέω. 6 ἀποδίδωμι. 7 ἀποστέλλω. 8 scil. ὁ τρίπȣς 9 ἀποστέλλω. 10 ἀφικνέομαι. 11 κομίζω. 12 καθιερόω. 13 πέμπω. 14 ἀποστέλλω.

11. Der Hagestolz und der Vater.

Φασὶ πρὸς Θαλῆν εἰς Μίλητον ἐλθόντα τὸν Σόλωνα, θαυμάζειν, ὅτι γάμου τοπαράπαν ἠμέληκε [1] καὶ τὸν Θαλῆν τότε μὲν σιωπῆσαι [2], διαλιπόντα [3] δ᾽ ὀλίγας ἡμέρας, ἄνδρα παρασκευάσαι ξένον, ἀρτίως ἥκειν φάσκοντα δεκαταῖον [4] ἐξ Ἀθηνῶν· πυθομένου [5] δὲ τȣ͂ Σόλωνος, εἰ δή τι καινὸν ἐν ταῖς Ἀθήναις, δεδιδαγμένον [6], ἃ χρὴ λέγειν, τὸν ἄνθρωπον, Οὐδὲν, εἰπεῖν, ἕτερον, εἰ μὴ νὴ Δία νεανίσκȣ τινὸς ἦν ἐκφορὰ, καὶ προὔπεμπεν [7] ἡ πόλις·

λις· ἦν γὰρ υἱὸς (ὥς ἔφασαν) ἀνδρὸς ἐνδόξȣ καὶ πρωτεύοντος ἀρετῇ τῶν πολιτῶν· ȣ̓ παρῆν[8] δὲ, ἀλλ' ἀποδημεῖν ἔφασαν αὐτὸν ἤδη πολὺν χρόνον· ὡς δυστυχὴς ἐκεῖνος, φᾶναι[9] τὸν Σόλωνα, Τίνα δ' ὠνόμαζον αὐτόν; Ἤκουσα[10], φάναι, τοὔνομα, τὸν ἄνθρωπον· ἀλλ' ȣ̓ μνημονεύω· πλὴν ὅτι πολὺς λόγος ἦν αὐτȣ̃ σοφίας καὶ δικαιοσύνης· οὕτω δὴ καθ' ἑκάστην ἀπόκρισιν τῷ φόβῳ προσαγόμενον τὸν Σόλωνα, καὶ τέλος ἤδη συντεταραγμένον[11] αὐτὸν ὑποβάλλειν τοὔνομα τῷ ξένῳ, πυνθανόμενον, μὴ Σόλωνος ὁ τεθνηκὼς[12] υἱὸς ὠνομάζετο· Φήσαντος[13] δὲ ἀνθρώπȣ, τὸν μὲν ὁρμῆσαι παίειν τὴν κεφαλὴν, καὶ τἄλλα ποιεῖν καὶ λέγειν, ἃ συμβαίνει τοῖς περιπαθοῦσι[14]· τὸν δὲ Θαλῆν ἐπιλαβόμενον αὐτȣ̃, καὶ γελάσαντα· Ταῦτα τοι (φάναι) ὦ Σόλων, ἐμὲ γάμου ἀφίστησιν, ἃ καὶ σε κατερείπει τὸν ἐῤῥωμενέστατον· ἄλλα, θάῤῥει τῶν λόγων ἕνεκα τούτων· ȣ̓ γάρ εἴσιν ἀληθεῖς.

1 ἀμελέω. 2 σιωπάω. Bei diesem und allen folgenden Infinitiven muß φασί, wiederholt werden. Er habe geschwiegen — habe angestiftet u. s. w. 3 διαλείπω. 4 erst seit 10 Tagen. 5 πυνθάνομαι. 6 διδάσκω. 7 προπέμπω. 8 πάρειμι. 9 φημί. Er habe gesagt. 10 ἀκȣ́ω. τȣ̈νομα statt τὸ ὄνομα. 11 συνταράσσω. 12 θνήσκω. 13 da dieser es bejahte. 14 περιπαθέω.

12. Des jungen Themistokles Anwendung seiner Freistunden.

Ὁ Θεμιστοκλῆς ἔτι παῖς ὤν, ὁμολογεῖται φορᾶς μεστὸς εἶναι, καὶ τῇ μὲν φύσει συνετὸς, τῇ προαιρέσει δὲ μεγαλοπράγμων καὶ πολιτικός. ἐν γὰρ ταῖς ἀνέσεσι[1] καὶ σχολαῖς ἀπὸ τῶν μαθημάτων γενό-

γενόμενος, ἐκ ἔπαιζεν, ἐδ' ἐῤῥαθύμει [2] καθάπερ οἱ λοιποὶ παῖδες, ἀλλ' εὑρίσκετο λόγες τινὰς μελετῶν καὶ συνταττόμενος πρὸς ἑαυτὸν [3]· ἦσαν [4] δ' οἱ λόγοι κατηγορία τινὸς ἢ συνηγορία τῶν παίδων· ὅθεν εἰώθει [5] λέγειν ὁ διδάσκαλος· ἐδὲν ἔσῃ [6] παῖ σὺ μικρὸν, ἀλλὰ μέγα πάντως ἀγαθὸν ἢ κακόν.

1 ἄνεσις. 2 ῥαθυμέω. 3 vor sich. 4 εἰμί. 5 ἔθω. 6 εἰμί.

13. Ehrgeiz des Themistokles.

Ὁ Θεμισοκλῆς λέγεται ἔτω παράφορος πρὸς δόξαν εἶναι, καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραςὴς, ὥςε νέος ὢν ἔτι, τῆς ἐν Μαραθῶνι [1] μάχης πρὸς τὲς βαρβάρες γενομένης καὶ τῆς Μιλτιάδε ςρατηγίας διαβοηθείσης [2], σύννες ὁρᾶσθαι [3] τὰ πολλὰ πρὸς ἑαυτῷ, καὶ τὰς νύκτας ἀγρυπνεῖν, καὶ λέγειν πρὸς τὲς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολὴν, ὡς καθεύδειν αὐτὸν ἐκ ἐῴη [4] τὸ τε Μιλτιάδε τρόπαιον.

1 die Schlacht, in der der Athener Miltiades den Perserkönig aufs Haupt geschlagen. 2 διαβοάω. 3 der Infinitiv ὁρᾶσθαι hängt von dem vorherstehenden ὥςε ab, das am gewöhnlichsten mit dem Infinitiv verbunden wird. 4 ἐάω.

14. Mütterliche Freude.

Πολλῶν Ῥωμαίοις ἀγώνων καὶ πολέμων γενομένων, ὁ Μάρκιος [1] ἐξ ἐδενὸς ἀςεφάνωτος ἦλθεν ἐτ' ἀγέραςος· ἦν δὲ τοῖς μὲν ἄλλοις ἡ δόξα τῆς ἀρετῆς τέλος, ἐκείνῳ δὲ τῆς δόξης ἡ τῆς μητρὸς εὐφροσύνη· τὸ γὰρ ἐκείνην ἐπαινέμενον ἀκἐσαι [2], καὶ

ςεφα-

ϛεφανȣ́μενον ἰδεῖν καὶ περιβαλεῖν [3] δακρύȣσαν ὑφ' ἡδονῆς, ἐντιμότατον [4] αὐτὸν ἐνόμιζε ποιεῖν καὶ μακαριώτατον.

1 eben der Mann der oben S. 37 unter dem Namen Koriolan vorgekommen. Denn dies war nur sein Beiname, den ihm seine Tapferkeit bei Eroberung der Volskischen Stadt Korioli erworben. Sein eigentlicher Name war Marcius 2 Die Griechen gebrauchen ganze Redensarten als ein Substantiv mit dem vorgesetzten Artikel. Die Construction ist: τὸ γὰρ ἀκȣ̃σαι ἐκείνην ἐπαινȣ́μενον (αὐτὸν) daß sie ihn loben hörte. 3 περιβάλλω. 4 ἔντιμος.

15. Große Würkung einer Fabel.

Ἡ βȣλὴ (τῶν Ῥωμαίων) τοῖς πλȣσίοις ἀμύνȣσα, πρὸς τὸν δῆμον ἐϛασίασε [1]. πολλὰ καὶ δεινὰ πάσχειν ὑπὸ τῶν δανειϛῶν δοκȣ̃ντα. Οἱ δὲ πένητες, συϛάντες ἄφνω, καὶ παρακαλέσαντες [2] ἀλλήλȣς, ἀπέλιπον τὴν πόλιν, καὶ καταλαβόντες ὄρος, ὃ νῦν ἱερὸν καλεῖται, παρὰ τὸν Ἀνίηνα ποταμὸν ἐκαθέζοντο. Ταῦτ' ἔδεισεν [3] ἡ βȣλὴ, καὶ τȣ̀ς ἐπιεικεῖς μάλιϛα καὶ δημοτικȣ̀ς τῶν πρεσβυτέρων ἐξαπέϛειλε [4] · προηγόρει [5] δε Μενήνιος Ἀγρίππας · καὶ πολλὰ μὲν τȣ̃ δήμȣ δεόμενος, τελευτῶν [6] ἔφη · τȣ̃ ἀνθρώπȣ τὰ μέλη πάντα πρὸς τὴν γαϛέρα ϛασιάσαι, καὶ κατηγορεῖν αὐτῆς, ὡς μόνης ἀργȣ̃ καὶ ἀσυμβόλȣ καθεζομένης ἐν τῷ σώματι, τῶν δ' ἄλλων εἰς τὰς ἐκείνης ὀρέξεις πόνȣς τε μεγάλȣς καὶ λειτȣργίας ὑπομενόντων · τὴν δὲ γαϛέρα τῆς εὐηθείας αὐτῶν καταγελᾷν [7], ἀγνοȣ́ντων, ὅτι τὴν τροφὴν ὑπολαμβάνει μὲν εἰς ἑαυτὴν ἅπασαν [8], ἀναπέμπει δ' αὖθις ἐξ αὐτῆς καὶ διανέμει τοῖς ἄλλοις. Οὕτως ȣ̃ν, ἔφη, καὶ τῆς συγκλήτȣ λόγος ἐϛὶν, ὦ

πολῖται, πρὸς ὑμᾶς [9]· τὰ γὰρ ἐκεῖ τυγχάνοντα βϑλεύματα καὶ πράγματα πᾶσιν ὑμῖν ἐπιφέρει καὶ διανέμει τὸ χρήσιμον καὶ ὠφέλιμον. Ἐκ τϑτϑ διηλλάγησαν [10].

1 ςασιάζω. 2 παρακαλέω. 3 δείδω. 4 ἐξαποςέλλω. 5 προαγορέω. 6 τελευτῶν ἔφη Er sprach endigend d. i. Endlich sagte er. 7 der Infinit. hängt wieder ab von dem obigen ἔφη. Der Magen habe gelacht. 8 ἅπας. 9 eben so verhält sich der Senat gegen euch. 10 διαλλάσσω.

16. Der sterbende Plato.

Πλάτων, ἤδη πρὸς τῷ τελευτᾷν γενόμενος, ὕμνει τὸν αὑτϑ δαίμονα καὶ τὴν τύχην, ὅτι πρῶτον μὲν ἄνθρωπος, εἶτα Ἕλλην, ϑ βάρβαρος, ϑδ' ἄλογον τῇ φύσει θηρίον γένοιτο [1]· πρὸς δὲ τϑτοις ὅτι τοῖς Σωκράτϑς χρόνοις ἀπήντησεν [2] ἡ γένεσις αὐτϑ.

1 γίνομαι. 2 ἀπαντάω.

17. Der verkannte Feldherr.

Φιλοποίμην ἦν τὸ μὲν εἶδος ϑκ αἰσχρὸς· τὴν δὲ τῆς ξένης τῆς Μεγαρικῆς ἄγνοιαν συμβῆναι [1] λέγϑσι δι' εὐκολίαν τινὰ καὶ ἀφέλειαν αὐτϑ· πυνθανομένη γὰρ ἔρχεσθαι πρὸς αὐτϑς τὸν ςρατηγὸν τῶν Ἀχαιῶν [2], ἐθορυβεῖτο, παρασκευάζϑσα δεῖπνον, ϑ παρόντος κατὰ τύχην τϑ ἀνδρὸς· ἐν τϑτῳ δὲ τϑ Φιλοποίμενος εἰσελθόντος, χλαμύδιον εὐτελὲς ἔχοντος, οἰομένη τινὰ τῶν ὑπηρετῶν εἶναι καὶ προδρόμων, παρεκάλει τῆς διακονίας συνεφάψασθαι [3]. καὶ ὁ μὲν εὐθὺς ἀποῤῥίψας τὴν χλαμύδα τῶν ξύλων [4] ἔσχιζεν· ὁ δὲ ξένος [5] ἐπεισελθὼν, καὶ θεασά-

σάμενος. Τί τοῦτο, ἔφη, Φιλοποίμην; Τί γὰρ ἄλλο, ἔφη ἐκεῖνος, ἢ κακῆς ὄψεως δίκας δίδωμι [6].

1 συμβαίνω. 2 Eben Philopömen selbst war der Feldherr der Achäer, 3 συνεφάπτομαι. 4 Einiges Holz. Der Genitiv ξύλων wird nicht von dem Verbum σχίζειν, das vielmehr einen Accusat. zu sich nimmt, regiert, sondern von dem ausgelassnen Worte τὶ oder τινά. 5 sein Gastfreund. 6 ich muß für meine schlechte äußre Gestalt büßen.

18. Deutliche Erklärung einer Sonnenfinsterniß.

Τοῦ Περικλέους ἀναβεβηκότος [1] ποτὲ ἐπὶ τὴν ἑαυτοῦ τριήρη, τὸν μὲν ἥλιον ἐκλιπεῖν [2] συνέβη [3] καὶ γενέσθαι σκότος, ἐκπλαγῆναι [4] δὲ πάντας, ὡς πρὸς μέγα σημεῖον. ὁρῶν οὖν ὁ Περικλῆς περίφοβον τὸν κυβερνήτην καὶ διηπορημένον [5], ἀνέσχε [6] τὴν χλαμύδα πρὸ τῆς ὄψεως αὐτοῦ, καὶ παρακαλύψας [7] ἠρώτησε [8], μή τι δεινὸν ἢ δεινοῦ τινος οἴεται σημεῖον; ὡς δ᾽ οὐκ ἔφη [9], Τί οὖν (εἶπεν) ἐκεῖνο τούτου διαφέρει, πλὴν ὅτι μεῖζόν τι τῆς χλαμύδος ἐστὶ τὸ πεποιηκὸς [10] τὴν ἐπισκότησιν.

1 ἀναβαίνω. 2 ἐκλείπω. 3 συμβαίνω. 4 ἐκπλήσσω. 5 διαπορέω. 6 ἀνέχω. 7 παρακαλύπτω. 8 ἐρωτάω. 9 als dieser Nein sagte. 10 ποιέω.

29. Eine Gespenstergeschichte.

Ὁ Βροῦτος μέλλων τὸν στρατὸν ἐξ᾽ Ἀβύδου διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον [1], ἀνεπαύετο νυκτὸς (ὥσπερ εἰώθει) κατὰ σκηνὴν, οὐ καθεύδων, ἀλλὰ φροντίζων περὶ τοῦ μέλλοντος· (λέγεται γὰρ οὗτος ἀνὴρ ἥκιστα δὴ τῶν στρατηγῶν ὑπνώδης γενέσθαι) ψόφου δὲ τινος αἰσθέσθαι [2] περὶ τὴν θύραν ἔδοξε,

 καὶ

καὶ πρὸς τὸ τȣ̃ λύχνȣ φῶς ἤδη καταφερομένȣ [3] σκεψάμενος, ὄψιν εἶδε φοβερὰν ανδρὸς ἐκφύλȣ τὸ μέγεθος, καὶ χαλεπȣ̃ τὸ εἶδος· ἐκπλαγεὶς [4] δὲ τὸ πρῶτον, ὡς ἑώρα [5] μήτε πράττοντα τι, μήτε φθεγγόμενον, ἀλλὰ ἑςῶτα [6] σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα ὅςις ἐςίν· ἀποκρίνεται δ᾽ αὐτῷ τὸ φάσμα. Ὁ σὸς, ὦ Βρȣ̃τε, δαίμων κακὸς· ὄψη [7] δὲ με περὶ Φιλίππȣς· τότε μὲν ȣ̃ν ὁ Βρȣ̃τος εὐθαρσῶς, Ὄψομαι, εἶπεν, καὶ τὸ δαιμόνιον εὐθὺς ἐκποδὼν ἀπῄει [8]. τῷ δὲ ἱκνȣμένῳ χρόνῳ περὶ τȣ̀ς Φιλίππȣς ἀντιταχθεὶς [9] Ἀντωνίῳ καὶ Καίσαρι [10], τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ᾽ ἑαυτὸν [11] ἐτρέψατο [12] καὶ διεξήλασεν [13] πορθῶν τὸ Καίσαρος ςρατόπεδον· τὴν δὲ δευτέραν [14] αὐτῷ μάχεσθαι μέλλοντι φοιτᾷ τὸ αὐτὸ φάσμα τῆς νυκτὸς αὖθις, ȣ̓χ ὥςε τι προσειπεῖν [15]. ἀλλὰ συνεὶς [16] ὁ Βρȣ̃τος τὸ πεπρωμένον, ἔῤῥιψε [17] ἑαυτὸν εἰς τὸν κίνδυνον· ȣ̓ μὴν ἔπεσεν [18] ἀγωνιζόμενος, ἀλλὰ τῆς τροπῆς γενομένης, ἀναφυγὼν [19] πρὸς τι κρημνῶδες, καὶ τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ ςέρνον ἀπέθανεν [20].

1 nehmlich nach Europa. Denn Abydus lag am Hellespont auf der Seite von Asien. Brutus kam mit seiner Armee aus Asien; um dem Augustus und Antonius entgegen zu rükken. 2 αἰσθάνομαι. 3 Das schon heruntergebrannt war, schon verlöschen wollte. 4 ἐκπλήσσω. 5 ὁράω. 6 ἵςημι. 7 ὄπτομαι. 8 ἄπειμι. 9 ἀντιτάσσω. 10 Augustus, der, weil ihn Julius Cäsar adoptirt hatte, auch Cäsar hieß. 11 scil. μέρος. den ihm entgegenstehenden Theil oder Flügel der feindlichen Armee. 12 τρέπω. 13 διεξελαύνω. 14 scil. μάχην, aus dem vorhergehenden. 15 ohne etwas zu sagen. 16 συνίημι. 17 ῥίπτω. 18 πίπτω. 19 ἀναφεύγω. 20 ἀποθνήσκω.

20. Spar-

20. Spartische Kinderzucht.

Οἱ παλαιοὶ Σπαρτιᾶται τοὺς Εἵλωτας ἐν ταῖς ἑορταῖς πολὺν ἀναγκάζοντες πίνειν ἄκρατον, εἰσῆγον[1] εἰς τὰ συμπόσια, τοῖς νέοις, οἷόν ἐστι τὸ μεθύειν, ἐπιδεικνύντες· ἡμεῖς δὲ τὴν ἐκ διαστροφῆς ἑτέρων ἐπανόρθωσιν, οὐ πάνυ φιλάνθρωπον οὐδὲ πολιτικὴν ἡγούμεθα[2].

1 εἰσάγω. 2 ἡγέομαι.

21. Der betrügende und betrogene Fischer.

Ἀντώνιος ἐπεὶ ἁλιεύων ποτὲ καὶ δυσαγρῶν ἤχθετο[1] παρούσης[2] τῆς Κλεοπάτρας, ἐκέλευσε τοὺς ἁλιεῖς ὑπονηξαμένους[3] κρύφα τῷ ἀγκίστρῳ περικαθάπτειν ἰχθῦς τῶν προεαλωκότων[4], καὶ δὶς ἢ τρὶς ἀνασπάσας[5] οὐκ ἔλαθε[6] τὴν Αἰγυπτίαν· προσποιουμένη δὲ θαυμάζειν, τοῖς φίλοις διηγεῖτο, καὶ παρεκάλει τῇ ὑστεραίᾳ γενέσθαι θεατάς· ἐμβάντων[7] δὲ πολλῶν εἰς τὰς ἁλιάδας, καὶ τοῦ Ἀντωνίου τὴν ὁρμιὰν καθέντος[8], ἐκέλευσε τινὰ τῶν αὑτῆς[9] ὑποφθάσαντα[10] καὶ προσνηξάμενόν[11] τῷ ἀγκίστρῳ περιπεῖραι Ποντικὸν τάριχος· ὡς δὲ ἔχειν[12] πεισθεὶς[13] ὁ Ἀντώνιος ἀνεῖλκε[14], γέλωτος, οἷον εἰκὸς, γενομένου, Παράδος[15] ἡμῖν (ἔφη[16],) τὸν κάλαμον, αὐτοκράτωρ, τοῖς Φαρίταις καὶ Κανωβίταις βασιλεῦσιν[17]. ἡ δὲ σὴ θήρα, πόλεις εἰσὶ καὶ βασιλεῖς καὶ ἤπειροι.

1 ἄχθομαι. 2 πάρειμι. 3 ὑπονήχομαι. 4 προαλίσκω. 5 ἀνασπάω. 6 λανθάνω. Er blieb der Aegyptischen Königin (Kleopatra) nicht verborgen d. i. Kleopatra bemerkte seine List. 7 ἐμβαίνω. 8 καθίημι. 9 scil. δούλων. (einen von ihren Leuten) 10 ὑποφθάνω. 11 προσνήχομαι. 12 scil. ἰχθῦν τινα.

13 πείθω. 14 ἀνέλκω. 15 παραδίδωμι 16 scil. ἡ Κλεοπάτρα. 17 Pharus und Kanopus gehörten zu Aegypten und lagen beide am Meere.

22. Der Menschenhasser.

Ὁ Τίμων ἦν Ἀθηναῖος, ὃς γέγονεν ἡλικίᾳ μάλιστα κατὰ τὸν Πελοποννησιακὸν πόλεμον [1], ἐκκλίνων δὲ καὶ διωθούμενος ἅπασαν ἔντευξιν · λέγεται δὲ Ἀθηναίων ἐκκλησιαζόντων, ἀναβὰς [2] ἐπὶ τὸ βῆμα, ποιῆσαι σιωπὴν καὶ προσδοκίαν μεγάλην διὰ τὸ παράδοξον · εἶτα εἰπεῖν · Ἔστι μοι μικρὸν οἰκόπεδον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ συκῆ τις ἐν αὐτῷ πέφυκεν [3], ἐξ ἧς ἤδη συχνοὶ τῶν πολιτῶν ἀπήγξαντο [4]. μέλλων οὖν οἰκοδομεῖν τὸν τόπον, ἐβουλήθην [5] δημοσίᾳ προειπεῖν, ἵνα, ἂν ἄρα τινὲς ἐθέλωσιν ὑμῶν, πρὶν ἐκκοπῆναι [6] τὴν συκῆν, ἀπάγξωνται.

1 Der lange Krieg, der vornehmlich zwischen den Athenern und Spartern geführt ward. 2 ἀναβαίνω. 3 φύω. 4 ἀπάγχομαι. 5 βούλομαι. 6 ἐκκόπτω.

23. Unglükliches Tyrannenleben.

Ὁ πρεσβύτερος Διονύσιος οὕτω ἦν ἄπιστος, καὶ πρὸς ἅπαντας ἀνθρώπους ὕποπτος, ὥστε μηδὲ τῆς κεφαλῆς τὰς τρίχας ἀφελεῖν κουρικαῖς μαχαίραις, ἀλλὰ τῶν πελατῶν τις ἐπιφοιτῶν ἄνθρακι τὴν κόμην περιέκαιεν · εἰσῄει [1] δὲ πρὸς αὐτὸν εἰς τὸ δωμάτιον οὔτε ἀδελφὸς, οὔθ᾽ υἱὸς, ὡς ἔτυχεν [2] ἠμφιεσμένος [3], ἀλλ᾽ ἔδει πρὶν εἰσελθεῖν, ἀποδύντα [4] τὴν ἑαυτοῦ στολὴν ἕκαστον, ἑτέραν ἀναλαβεῖν [5], ὁραθέντα [6] γυμνὸν ὑπὸ τῶν φυλαττόντων.

1 εἴσει-

1 εἴσειμι. 2 τυγχάνω. 3 ἀμφιέννυμι. 4 ἀποδύω. 5 ἀναλαμβάνω. 6 ὁράω.

24. Natur und Kunst.

Ὁ Ἀγησιλάος παρακαλέμενος ποτὲ ἀκȣ̃σαι τȣ̃ τὴν ἀηδόνα μιμȣμένȣ, παρῃτήσατο [1], Φήσας, Αὐτὰς [2] ἄκȣκα [3] πολλάκις.

1 παραιτέω. 2 scil. τὰς ἀηδόνας. 3 ἀκȣ́ω.

25. Alexanders Freigebigkeit.

Τῶν πολλῶν τις Μακεδόνων ἤλαυνεν ἡμίονον, βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τȣ̃ κτήνȣς, αὐτὸς ἀράμενος [1] ἐκόμιζε τὸ Φορτίον. ἰδὼν ȣ̃ν ὁ Ἀλέξανδρος θλιβόμενον αὐτὸν σφόδρα, καὶ πυθόμενος [2] τὸ πρᾶγμα, μέλλοντος [3] κατατίθεσθαι, μὴ κάμῃς [4] (εἶπεν) ἀλλὰ πρόσθες [5] ἔτι τὴν λοιπὴν ὁδὸν, ἐπὶ τὴν σκηνὴν σεαυτῷ τȣ̃το κομίσας [6].

1 αἴρω. 2 πυνθάνομαι. 3 scil. ἐκείνȣ. 4 κάμνω. 5 προστίθημι. 6 κομίζω.

26. Sprich nicht von Dingen, die du nicht verstehst.

Ἀπελλῆς ὁ ζωγράφος, Μεγαβύζȣ παρακαθίσαντος αὐτῷ, καὶ περὶ γραμμῆς τι καὶ σκιᾶς βȣλομένȣ λαλεῖν· Ὁρᾷς (ἔφη) τὰ παιδάρια ταυτὶ [1] τὰ τὴν μηλίδα τρίβοντα; πάνυ σοι προσεῖχε [2] τὸν νȣ̃ν σιωπῶντι, καὶ τὴν πορφύραν ἐθαύμαζε καὶ τὰ χρυσία· νῦν δὲ σȣ̃ καταγελᾷ περὶ ὧν [3] ȣ̓ μεμάθηκας [4] ἀρξαμένȣ [5] λαλεῖν.

1 attisch statt ταῦτα. 2 wegen des Plurals παιδάρια sollt' es eigentlich προσεῖχον heißen. Allein es ist

im Griechischen gewöhnlich, mit dem Nominativ des Pluralis im Neutrum den Singular des Verbums zu verbinden. So auch im folgenden ἐθαύμαζε und καταγελᾷ. 3 eigentlich sollte es heißen περὶ ἐκείνων ἃ &c. 4 μανθάνω. 5 ἄρχομαι.

27. Kindliche Liebe.

Τὰ περὶ Κλέοβιν καὶ Βίτωνα τὰς Ἀργείας νεανίσκους διηγήσομαι. Φασὶ γὰρ, τῆς μητρὸς αὐτῶν ἱερείας οὔσης τῆς Ἥρας, ἐπειδὴ τῆς εἰς τὸν νεὼν ἀναβάσεως ἧκεν ὁ καιρὸς, τῶν ἑλκόντων τὴν ἀπήνην ἡμιόνων ὑστερησάντων [1], καὶ τῆς ὥρας ἐπειγούσης, τούτους ὑποδύντας [2] ὑπὸ τὴν ἀπήνην, ἀγαγεῖν [3] εἰς τὸ ἱερὸν τὴν μητέρα· τὴν δ᾽ ὑπερησθεῖσαν [4] τῇ τῶν υἱῶν εὐσεβείᾳ, κατεύξασθαι [5] τὸ κράτιστον αὐτοῖς παρὰ τῆς θεοῦ δοθῆναι [6] τῶν [7] ἐν ἀνθρώποις· τοὺς δὲ κατακοιμηθέντας [8] μηκέτι ἀναστῆναι [9], τῆς θεοῦ τὸν θάνατον αὐτοῖς τῆς εὐσεβείας ἀμοιβὴν δωρησαμένης [10].

1 ὑστερέω. 2 ὑπόδυμι. 3 ἄγω. 4 ὑπερήδομαι. 5 κατεύχομαι. 6 δίδωμι. 7 scil. πραγμάτων. 8 κατακοιμάομαι. 9 ἀνίστημι. 10 δωρέω.

28. Der König auf dem Stekkenpferd.

Ἀγησίλαος, φιλοτεκνότατος ὢν διαφερόντως, λέγεται, ὅτι μικροῖς τοῖς παιδίοις, κάλαμον ἐπιβεβηκὼς [1], ὥσπερ ἵππον, οἴκοι συνέπαιζεν· ὀφθεὶς [2] δὲ ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράζειν, πρὶν καὶ αὐτὸς πατὴρ παίδων γένηται [3].

1 ἐπιβαίνω. 2 ὄπτομαι. 3 γίνομαι.

29. Grausame Belohnung einer grausamen Erfindung.

Φάλαρις Ἀκραγαντίνων τύραννος ἀπότομος, τοὺς παριόντας [1] ξένους ἐστρέβλου καὶ ἐκόλαζε. Πέριλλος δὲ τῇ τέχνῃ χαλκουργὸς, δάμαλιν κατασκευάσας χαλκῆν, ἔδωκε τῷ βασιλεῖ, ὡς ἂν τοὺς ξένους κατακαίῃ ζῶντας ἐν αὐτῇ· ὁ δε μόνον τότε γενόμενος δίκαιος, αὐτὸν ἐνέβαλεν [2]· ἐδόκει δὲ μυκηθμὸν ἀναδιδόναι [3] ἡ δάμαλις.

1 πάρειμι. 2 ἐμβάλλω. 3 ἀναδίδωμι.

30. Treue eines Hundes.

Πύῤῥος ὁ βασιλεὺς ὁδεύων ἐνέτυχε [1] κυνὶ φρουροῦντι σῶμα πεφονευμένου [2], καὶ πυθόμενος, τρίτην ἡμέραν ἐκείνην ἄσιτον παραμένειν καὶ μὴ ἀπολιπεῖν [3], τὸν μὲν νεκρὸν ἐκέλευσε θάψαι [4], τὸν δὲ κυνὰ μεθ' ἑαυτοῦ κομίζειν ἐπιμελουμένους· ὀλίγαις δὲ ὕστερον ἡμέραις ἐξέτασις ἦν τῶν στρατιωτῶν, καὶ παρόδος καθημένου τοῦ βασιλέως, καὶ παρῆν ὁ κύων ἡσυχίαν ἔχων· ἐπεὶ δὲ τοὺς φονέας [5] τοῦ δεσπότου παριόντας εἶδεν, ἐξέδραμεν [6] μετὰ φωνῆς καὶ θυμοῦ ἐπ' αὐτοὺς, καὶ καθυλάκτει πολλάκις μεταστρεφόμενος εἰς τὸν Πύῤῥον, ὥστε μὴ μόνον ἐκείνῳ δι' ὑποψίας [7] ἀλλὰ καὶ πᾶσι τοῖς παροῦσι [8] τοὺς ἀνθρώπους γενέσθαι· διὸ συλληφθέντες [9] εὐθὺς καὶ ἀνακρινόμενοι, μικρῶν τινων τεκμηρίων ἔξωθεν προσγενομένων, ὁμολογήσαντες τὸν φόνον, ἐκολάσθησαν [10].

1 ἐντυγχάνω. 2 φονεύω. 3 ἀπολείπω. 4 θάπτω. 5 φονεὺς. 6 ἐκτρέχω. 7 δι' ὑποψίας γίνεσθαι verdächtig werden. 8 πάρειμι. 9 συλλαμβάνω. 10 κολάζω.

31. Der

31. Der griechische Scävola. (siehe S. 33.)

Ξέρξης μετὰ πεντακοσίων μυριάδων Ἀρτεμισίῳ προσορμίσας, πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν [1]. Ἀθηναῖοι δὲ συγκεχυμένοι [2] κατάσκοπον ἔπεμψαν Ἀγησίλαον τὸν Θεμιστοκλέους ἀδελφὸν, καίπερ Νεοκλέους, τοῦ πατρὸς αὐτοῦ, κατ᾽ ὄναρ ἑωρακότος [3] ἀμφοτέρας ἀποβεβληκότα [4] τὰς χεῖρας· παραγενόμενος δὲ εἰς τοὺς βαρβάρους ἐν σχήματι Περσικῷ, Μαρδώνιον ἕνα τῶν σωματοφυλάκων ἀνεῖλεν [5], ὑπολαμβάνων Ξέρξην εἶναι· συλληφθεὶς [6] δὲ πρὸς τῶν πέριξ, δέσμιος ἤχθη [7] πρὸς τὸν βασιλέα· βουθυτεῖν δὲ τοῦ προειρημένου [8] μέλλοντος ἐπὶ τῷ τοῦ ἡλίου βώμῳ, τὴν δεξιὰν ἐπέθηκε [9] χεῖρα, καὶ ἀστενάκτως ὑπομείνας [10] τὴν ἀνάγκην τῶν βασάνων, ἠλευθερώθη [11] τῶν δεσμῶν, εἰπών. Πάντες μὲν τοιοῦτοι Ἀθηναῖοι [12]· εἰ δὲ ἀπιστεῖς, καὶ τὴν ἀριστερὰν ἐπιθήσω [13]· φοβηθεὶς [14] δὲ ὁ Ξέρξης, φρουρεῖσθαι αὐτὸν προσέταξε [15].

1 καταγγέλλω. 2 συγχέω. 3 scil. αὐτὸν. von ὁράω. 4 ἀποβάλλω. 5 ἀναιρέω. 6 συλλαμβάνω. 7 ἄγω. 8 scil. βασιλέως von προείρω (der eben genannte). 9 ἐπιτίθημι. 10 ὑπομένω. 11 ἐλευθερόω. 12 πάντες Ἀθηναῖοι (scil. εἰσὶ) τοιοῦτοι. 13 ἐπιτίθημι. 14 φοβέομαι. 15 προστάσσω.

32. Die Vorbedeutung.

Λέγεται Αἰμίλιον, ὡς ἀνηγορεύθη [1] κατὰ τοῦ Περσέως [2] στρατηγὸς ὑπὸ τοῦ δήμου παντὸς, οἴκαδε προπεμφθέντα [3] λαμπρῶς, εὑρεῖν [4] τὸ θυγάτριον τὴν Τερτίαν δεδακρυμένην [5], ἔτι παιδίον οὖσαν [6]· ἀσπαζόμενον οὖν αὐτὴν ἐρωτᾷν ἐφ᾽ ὅτῳ [7] λελύπηται [8]· τὴν δὲ περιβαλοῦσαν καὶ καταφιλοῦσαν· Οὐ

γὰρ

γὰρ οἶσθα [9], εἰπεῖν, ὦ πάτερ, ὅτι ἡμῖν ὁ Περσεὺς τέθνηκεν [10]; λέγουσαν [11] κυνίδιον σύντροφον, οὕτω προσαγορευόμενον· καὶ τὸν Αἰμίλιον, Ἀγαθῇ τύχῃ [12], φάναι [13], ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν.

1 ἀναγορεύω. 2 Perseus, der letzte König von Makedonien. 3 προπέμπω. 4 εὑρίσκω. 5 δακρύω. δεδακρυμένος hat, ob es gleich ein passives Participium ist, dennoch aktive Bedeutung, welches in Ansehung des passiven Perfektums überhaupt öfters geschieht. 6 εἰμι. 7 worüber, ἐφ᾽ ὅτῳ steht attisch statt ἐφ᾽ ᾧτινι. 8 λυπέω. 9 εἰδέω. (οἶσθα statt οἶδας). 10 θνήσκω. 11 bezieht sich noch auf τὴν δέ. — Sie meinte damit. 12 Eine Wunschformel Glück zu! 13 φημὶ der Infinit. hängt ab von dem obigen λέγουσαν.

33. Standhaftigkeit des jungen Kato.

Ἔτι παιδὸς τοῦ Κάτωνος ὄντος, ἔπραττον οἱ σύμμαχοι τῶν Ῥωμαίων, ὅπως μεθέξουσι [1] τῆς ἐν Ῥώμῃ πολιτείας· καὶ Πομπαίδιος Σίλλων, ἀνὴρ πολεμικὸς, καὶ μέγιστον ἔχων ἀξίωμα, τοῦ δὲ Δρούσου [2] φίλος, κατέλυσεν [3] παρ᾽ αὐτῷ πλείονας ἡμέρας, ἐν αἷς γεγονὼς τοῖς παιδίοις συνήθης, Ἄγε, εἶπεν, ὅπως ὑπὲρ ἡμῶν δεήσεσθε τοῦ θείου, συναγωνίσασθαι περὶ τῆς πολιτείας· ὁ μὲν οὖν Καιπίων [4] διαμειδιάσας [5] ἐπένευσεν [6]. τοῦ δὲ Κάτωνος οὐδὲν ἀποκριναμένου, καὶ βλέποντος εἰς τοὺς ξένους ἀτενὲς καὶ βλοσυρὸν, ὁ Πομπαίδιος, Σὺ δὲ (εἶπεν) ἡμῖν, ὦ νεανία, τί λέγεις; οὐχ οἷος εἶ [7] τοῖς ξένοις συλλαμβάνεσθαι πρὸς τὸν θεῖον, ὥσπερ ὁ ἀδελφός. μὴ φθεγγομένου δὲ τοῦ Κάτωνος, ἀλλὰ τῇ σιωπῇ καὶ τῷ προσώπῳ δοκοῦντος ἀπολέγεσθαι τὴν δέησιν,

ἀράμενος [8] αὐτὸν ὁ Πομπαίδιος ὑπὲρ θυρίδος, ὡς ἀφήσων, [9] ὁμολογεῖν ἐκέλευεν, ἢ ῥίψειν [10] ἔφασκεν· ἅμα τῇ τε φωνῇ τραχυτέρα χρώμενος [11], καὶ ταῖς χερσὶν ἀπηρτημένον [12] τὸ σῶμα πολλάκις ὑπὲρ τῆς θυρίδος κραδαίνων· ἐπεὶ δὲ πολὺν χρόνον ὕτω διεκαρτέρησεν ὁ Κάτων ἀνέκπληκτος καὶ ἀδεὴς, καταθέμενος [13] αὐτὸν ὁ Πομπαίδιος, ἡσυχῇ πρὸς τὺς φίλυς εἶπεν· Οἷον εὐτύχημα τῆς Ἰταλίας ὁ παῖς ὗτος ἐςὶν· εἰ δὲ ἀνὴρ ἦν [14], μίαν ὐκ ἂν οἶμαι ψῆφον ἡμῖν ἐν τῷ δήμῳ γενέσθαι.

1 μετέχω. 2 Drusus war Kato's Oheim. 3 καταλύω. 4 Cäpio, Kato's Bruder. 5 διαμειδιάω. 6 ἐπινεύω. 7 bist du nicht geneigt? 8 αἴρω. 9 ἀφίημι. 10 ῥίπτω. 11 χράομαι. 12 scil. κατὰ. — von ἀπαρτάω. 13 κατατίθημι. 14 εἰμί.

34. Edle Gleichgültigkeit bei Schmähungen.

Ἀντίγονος πρὸς τὺς ςρατιώτας, τὺς παρὰ τὴν σκηνὴν λοιδορῦντας αὐτὸν ὡς ὐκ ἀκύοντα, τὴν βακτηρίαν ὑποβαλὼν ἔξω, Παπαὶ (εἶπεν) ὐ ποῤῥωτέρω ποι τραπόμενοι [1] κακῶς ἐρεῖτε [2] ἡμᾶς;

1 τρέπω. 2 εἴρω.

35. Verwandl ng eines Gärtners in einen König.

Ἐν Πάφῳ, τῦ βασιλεύοντος ἀδίκου καὶ πονηρῦ φανέντος [1], ἐκβαλὼν τῦτον Ἀλέξανδρος, ἕτερον ἐζήτει, τῦ Κινυραδῶν [2] γένυς ἤδη φθίνειν καὶ ἀπολείπειν δοκῦντος· ἕνα δ' ὖν ἔφασαν [3] περιεῖναι πένητα καὶ ἄδοξον ἄνθρωπον ἐν κήπῳ τινὶ παρημελημένως διατρεφόμενον· ἐπὶ τῦτον οἱ πεμφθέντες [4] ἧκον· εὑρέθη [5] δὲ πρασιαῖς ὕδωρ ἐπαντλῶν. καὶ διετα-

διεταράχθη [6] τῶν στρατιωτῶν ἐπιλαμβανομένων αὐτοῦ, καὶ βαδίζειν κελευόντων· ἀχθεὶς [7] δὲ πρὸς Ἀλέξανδρον ἐν εὐτελεῖ σινδονίσκῃ, βασιλεὺς ἀνηγορεύθη [8], καὶ πορφύραν ἔλαβε.

1 φαίνω. 2 das Geschlecht der Kinyraden (der Abkömmlinge des Kinyras, eines alten Königs von Kypern) schien verlöschen und aussterben zu wollen. 3 φημί. 4 πέμπω. 5 εὑρίσκω. 6 διαταράσσω. 7 ἄγω. 8 ἀναγορεύω.

36. Das umgekehrte Gemälde.

Ὁ ζώγραφος Παύσων ἐκλαβὼν ἵππον ἀλινδούμενον γράψαι, τρέχοντα ἔγραψεν· ἀγανακτοῦντος δὲ τοῦ ἀνθρώπου, γελάσας ὁ Παύσων κατέστρεψε [1] τὸν πίνακα [2]· καὶ γενομένων ἄνω τῶν κάτω, πάλιν ὁ ἵππος οὐ τρέχων ἀλλ' ἀλινδούμενος ἐφαίνετο.

1 καταστρέφω. 2 πίναξ.

37. Der plauderhafte Barbier.

Χαριέντως ὁ βασιλεὺς Ἀρχέλαος, ἀδολέσχου κουρέως περιβαλόντος αὐτῷ τὸ ὠμόλινον, καὶ πυθομένου *· Πῶς σε κείρω, βασιλεῦ; Σιωπῶν, ἔφη.

* πυνθάνομαι.

38. Katos Ehrensäule.

Ὁ Κάτων, ἤδη ποτὲ τῆς Ῥώμης ἀναπιμπλαμένης ἀνδριάντων, οὐκ ἐῶν [1] αὐτοῦ γενέσθαι [2], Μᾶλλον, ἔφη, βούλομαι πυνθάνεσθαί τινας, διὰ τί μου ἀνδριὰς οὐ κεῖται [3], ἢ διὰ τί κεῖται.

1 ἐάω. 2 scil. ἀνδριάντα. 3 κεῖμαι.

39. Der

39. Der allzugehorsame Bediente.

Πέπιος Πείσων ὁ ῥήτωρ, μὴ βουλόμενος ἐνοχλεῖσθαι, προσέταξε [1] τοῖς οἰκέταις πρὸς τὰ ἐρωτώμενα λαλεῖν, καὶ μηδὲν πλέον· εἶτα Κλώδιον ἄρχοντα δεξιώσασθαι [2] βουλόμενος, ἐκέλευσε κληθῆναι [3], καὶ παρεσκευάσατο λαμπρὰν (ὡς εἰκὸς) ἑστίασιν. ἐνστάσης [4] δὲ τῆς ὥρας, οἱ μὲν ἄλλοι παρῆσαν [5], ὁ δὲ Κλώδιος προσεδοκᾶτο [6]· καὶ πολλάκις ἔπεμψε [7] τὸν εἰωθότα [8] καλεῖν οἰκέτην, ἐποψόμενον [9], εἰ πρόσεισιν· ὡς δ' ἦν ἑσπέρα, καὶ ἀπέγνωστο [10]. Τί δέ; (ἔφη πρὸς τὸν οἰκέτην) ἐκάλεσας αὐτόν; Ἔγωγε, εἶπε. Διὰ τί οὖν οὐκ ἀφῖκται [11]; Κἀκεῖνος [12]. Ὅτι ἠρνήσατο [13]. Πῶς οὖν οὐκ εὐθὺς ἔφρασας [14]; Ὅτι τοῦτό με οὐκ ἠρώτησας [15].

1 προστάσσω. 2 δεξιοῦμαι. 3 καλέω. 4 ἐνίστημι. 5 πάρειμι. 6 προσδοκάω. 7 πέμπω. 8 ἔχω. 9 ἐπόπτομαι. 10 ἀπογινώσκω. (da man alle Hoffnung aufgegeben.) 11 ἀφικνέομαι. 12 καὶ ἐκεῖνος scil. ἔφη. 13 ἀρνέομαι. 14 φράζω. 15 ἐρωτάω.

40. Die Zunge.

Ὁ Πιττακὸς οὐ κακῶς, τοῦ Αἰγυπτίων βασιλέως πέμψαντος [1] ἱερεῖον αὐτῷ, καὶ κελεύσαντος τὸ κάλλιστον καὶ τὸ χείριστον ἐξελεῖν [2] κρέας, ἔπεμψεν ἐξελὼν τὴν γλῶτταν, ὡς ὄργανον μὲν ἀγαθῶν, ὄργανον δὲ τῶν κακῶν τῶν μεγίστων οὖσαν [3].

1 πέμπω. 2 ἐξαιρέω. 3 εἰμί.

41. Der Schwätzer.

Ἀριστοτέλης ἐνοχλούμενος ὑπὸ ἀδολέσχου καὶ κοπτόμενος ἀτόποις τισὶ διηγήμασι, πολλάκις αὐτοῦ λέ-

λέγοντος· Οὐ θαυμαστὸν, Ἀριστότελες; Οὐ τοῦτο, φησὶ, θαυμαστὸν· ἀλλ' εἴ[1] τις πόδας ἔχων σὲ ὑπομένει[2]. ἑτέρῳ δὲ τινι τοιούτῳ μετὰ πολλοὺς λόγους εἰπόντι, Κατηδολέσχηκά[3] σου, Φιλόσοφε, Μὰ Δί', εἶπεν· οὐ γὰρ προσεῖχον[4].

1 εἰ steht zuweilen statt ὅτι. 2 der Sinn ist: daß nicht jeder vor dir läuft. 3 καταδολεσχέω. 4 scil. τὸν νοῦν.

42. Zu grausam bestrafte Vorschnelligkeit.

Σέλευκος ὁ Καλλίνικος, ἐν τῇ πρὸς Γαλάτας μάχῃ πᾶν ἀποβαλὼν τὸ στράτευμα καὶ τὴν δύναμιν αὐτοῦ, καὶ περισπάσας[1] τὸ διάδημα, καὶ φυγὼν[2] ἵππῳ, μετὰ τριῶν ἢ τεττάρων, ἀνοδίαις καὶ πλάναις πολὺν δρόμον, ἤδη δι' ἔνδειαν ἀπαγορεύων, ἐπαυλίᾳ τινὶ προσῆλθε, καὶ τὸν δεσπότην αὐτὸν εὑρὼν[3] κατὰ τύχην, ἄρτον καὶ ὕδωρ ᾔτησεν[4]. Ὁ δὲ καὶ ταῦτα καὶ τῶν ἄλλων, ὅσα παρῆν[5] ἐν τῷ ἀγρῷ, δαψιλῶς ἐπιδιδοὺς καὶ φιλοφρονούμενος, ἐγνώρισε τὸ πρόσωπον τοῦ βασιλέως καὶ περιχαρὴς γενόμενος τῇ συντυχίᾳ τῆς χρείας, οὐ κατέσχεν[6], οὐδὲ συνεψεύσατο[7] βουλομένῳ λανθάνειν, ἀλλ' ἄχρι τῆς ὁδοῦ προπέμψας καὶ ἀπολυόμενος, Ὑγίαινε, εἶπεν, ὦ βασιλεῦ Σέλευκε. κἀκεῖνος ἐκτείνας τὴν δεξιὰν αὐτῷ καὶ προσελκόμενος ὡς φιλήσων, ἔνευσεν[8] ἑνὶ τῶν μετ' αὐτοῦ, ξίφει τὸν τράχηλον ἀποκόψαι[9] ἀνθρώπου.

1 περισπάω. 2 φεύγω. 3 εὑρίσκω. 4 αἰτέω. 5 πάρειμι. 6 scil. ἑαυτόν. 7 συμψεύδομαι (er unterstützte nicht die Verheimlichung des Königs, der nicht gekannt sein wollte.) 8 νεύω. 9 ἀποκόπτω.

46. Der erobernde Esel.

Φίλιππος Φρέριον τι βȣλόμενος λαβεῖν ὀχυρὸν, ὡς ἀπήγγειλαν [1] οἱ κατάσκοποι, χαλεπὸν εἶναι παντάπασι καὶ ἀνάλωτον, ἠρώτησεν, εἰ χαλεπὸν ȣ̓́τως ἐςὶν, ὥςε μηδὲ ὄνον προσελθεῖν χρυσίον κομίζοντα [2].

1 ἀπαγγέλλω. 2 Er wollte nehmlich den Kommendanten der Festung bestechen.

44. Der erwartete Kuchen.

Φίλιππος ὑπό τινος ξένȣ κληθεὶς [1] ἐπὶ δεῖπνον, ἐν ὁδῷ πολλȣ̀ς ἐπήγετο. [2] Ἐπεὶ δὲ τὸν ξένον ἑώρα [3] θορυβȣ́μενον, (ἦν γὰρ ȣ̓χ ἱκανὰ τὰ παρεσκευασμένα [4]) προπέμπων τῶν Φίλων ἑκάςῳ, πλακȣ̃ντι [5] χώραν ἐκέλευεν ἀπολιπεῖν [6]· οἱ δὲ πειθόμενοι καὶ προσδοκῶντες, ȣ̓κ ἤσθιον [6] πολλὰ, καὶ πᾶσιν ȣ̔́τως ἤρκεσεν [8].

1 καλέω. 2 ἐπάγω. 3 ὁράω. 4 παρασκευάζω. 5 πλακȣ̃ς. 6 ἀπολείπω. 7 ἐσθίω. 8 ἀρκέω.

45. Der schlafende König.

Φιλίππȣ ἡμέρας καθεύδοντος, καὶ τῶν ἠθροισμένων [1] ἐπὶ θύραις Ἑλλήνων ἀγανακτȣ́ντων καὶ ἐγκαλȣ́ντων, ὁ Παρμενίων, Μὴ θαυμάσητε, εἶπεν, εἰ καθεύδει νῦν Φίλιππος· ὅτε γὰρ ἐκαθεύδετε ὑμεῖς, οὗτος ἐγρηγόρει [2].

1 ἀθροίζω. 2 γρηγορέω.

46. Der König und der Virtuose.

Φιλίππȣ ψάλτην τινα βȣλομένȣ παρὰ δεῖπνον ἐπανορθȣ̃ν καὶ λαλεῖν περὶ κρȣμάτων, ὁ ψάλτης,

Μὴ

Μὴ γένοιτό σοι, εἶπεν, κακῶς ὅτως, ὦ βασιλεῦ, ἵνα ταῦτα ἐμȣ̃ βέλτιον εἰδῇς.

47. Die dreiste alte Frau.

Πρεσβύτιδος πενιχρᾶς ἀξιȣ́σης ἐπὶ Φιλίππȣ [1] κριθῆναι [2], καὶ πολλάκις ἐνοχλȣ́σης, ἔφη, μὴ σχολάζειν· ἡ δὲ πρεσβύτις ἐγκραγȣ̃σα [3], Καὶ μὴ βασίλευε, εἶπεν. ὁ δὲ θαυμάσας τὸ ῥηθὲν [4], ȣ̉ μόνον ἐκείνης, ἀλλὰ καὶ τῶν ἄλλων εὐθὺς διήκȣσεν [5].

1 in Philipps Gegenwart. 2 κρίνω. 3 ἐγκράζω. 4 ῥέω. 5 διακȣ́ω.

48. Der vergötterte Alexander.

Ἀλέξανδρος τοξεύματι πληγεὶς [1] εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον [2] τῶν πολλάκις εἰωθότων [3] αὐτὸν θεὸν προσαγορεύειν, διαχυθεὶς [4] τῷ προσώπῳ, Τȣτὶ μὲν, αἷμα, εἶπεν, ὡς ὁρᾶτε, καὶ ȣ̉κ ἰχὼρ, οἷός περ ῥέει μακάρεσσι θεοῖσιν.

1 πλήσσω. 2 συντρέχω. 3 ἔθω. 4 διαχύω.

49. Die vorwitzige Frage.

Ἄγις ὁ νεώτερος ἔφη πρὸς τὸν ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις, τίς ἄριστος εἴη * Σπαρτιάτης· Ὁ σοὶ ἀνομοιότατος.

* εἰμὶ.

50. Schimpfen und streiten ist zweierlei.

Μέμνων ὁ Ἀλεξάνδρῳ [1] πολεμῶν ὑπὲρ Δαρείȣ τȣ̃ βασιλέως, μισθοφόρον τινὰ πολλὰ βλάσφημα

καὶ ἀσελγῆ περὶ Ἀλεξάνδρε λέγοντα τῇ λόγχῃ πατάξας [2], Ἐγώ σε, εἶπε, τρέφω μαχέμενον, ἀλλ' ἐ λοιδορέμενον Ἀλεξάνδρῳ.

1 gegen den Alexander. 2 πατάσσω.

51. Verhalten gegen seine Feinde.

Ἀρίςων, ἐπαινἕντός τινος τὴν τἕ Κλεομένες χρείαν [1], ὅτι, ἐρωτηθεὶς [2], τί δεῖ τὸν ἀγαθὸν βασιλέα ποιεῖν, εἶπε, τὲς μὲν φίλες εὐεργετεῖν, τὲς δὲ ἐχθρὲς κακῶς ποιεῖν· καὶ πόσῳ κρεῖσσον, ἔφη, ὦ λῷςε, τὲς μὲν φίλες εὐεργετεῖν, τὲς δὲ ἐχθρὲς φίλες ποιεῖν;

1 Den Ausspruch des Kleomenes. 2 ἐρωτάω.

52. Eine eigene Methode Geld zu erwerben.

Ξένε τινὸς ἰδίᾳ φράσειν [1] φάσκοντος Διονυσίῳ καὶ διδάξειν [2], ὅπως προειδῇ τὲς ἐπιβελεύοντας, ἐκέλευσεν εἰπεῖν· ἐπεὶ δὲ προσελθὼν, Δὸς [3], εἶπε, μοὶ τάλαντον, ἵνα δόξῃς ἀκηκοέναι [4] τὰ σημεῖα τῶν ἐπιβελευόντων, ἔδωκε προσποιέμενος ἀκηκοέναι, [4] καὶ ἐθαύμαζε τὴν μέθοδον τἕ ἀνθρώπε.

1 φράζω. 2 διδάσκω. 3 δίδωμι. 4 ἀκέω.

53. Der besiegte Sieger.

Πύῤῥος δὶς τὲς Ῥωμαίες νικήσας [1], πολλὲς δὲ τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας, Ἂν ἔτι μίαν, ἔφη, μάχην [2] Ῥωμαίες νικήσωμεν, ἀπολώλαμεν [3].

1 νικάω. 2 μίαν μάχην scil. κατά. 3 ἀπόλλυμι.

54. Dreiste

54. Dreiste Reden beim Wein.

Πύῤῥος ἀκούσας, ὅτι νεανίσκοι πολλὰ βλάσφημα περὶ αὐτοῦ πίνοντες εἰρήκασιν [1], ἐκέλευσεν ἀχθῆναι μεθ᾽ ἡμέραν πρὸς αὐτὸν ἅπαντας· ἀχθέντων [2] δὲ τὸν πρῶτον ἠρώτησεν [3], εἰ ταῦτα εἰρήκασι περὶ αὐτοῦ· καὶ ὁ νεανίσκος, Ταῦτα, εἶπεν, ὦ βασιλεῦ· πλείονα δ᾽ ἂν τούτων εἰρήκειμεν, εἰ πλείονα οἶνον εἴχομεν.

1 ῥέω. 2 ἄγω. 3 ἐρωτάω.

55. Unterschied des Dichters und des Helden.

Θεμιστοκλῆς ἐρωτηθεὶς [1], πότερον Ἀχιλλεὺς ἐβούλετ᾽ ἂν ἢ Ὅμηρος εἶναι, Σὺ δ᾽ αὐτὸς, ἔφη, πότερον ἤθελες [2] ὁ νικῶν ἐν Ὀλυμπιάσιν [3] ἢ ὁ κηρύσσων τοὺς νικῶντας εἶναι.

1 ἐρωτάω. 2 ἐθέλω. 3 in den Olympischen Spielen.

56. Genügsamkeit und Unbestechlichkeit.

Σαυνιτῶν [1] μετὰ τὴν ἧτταν ἀφικομένων [2] πρὸς Μάνιον Κούριον, καὶ χρυσίον διδόντων, ἔτυχεν [3] ἐν χύτραις ἕψων γογγυλίδας· ἀπεκρίνατο [4] δὲ τοῖς Σαυνίταις μηδὲν χρυσίου δεῖσθαι τοιοῦτον δεῖπνον δειπνῶν· αὐτῷ δὲ βέλτιον εἶναι, τοῦ χρυσίον ἔχειν [5], τὸ κρατεῖν τῶν ἐχόντων [6].

1 die Samniten. 2 ἀφικνέομαι. 3 τυγχάνω (er kochte gerade Rüben). 4 ἀποκρίνομαι. 5 τοῦ χρυσίον ἔχειν wird von dem Comparativ βέλτιον regiert. (besser zu herrschen als u. s. w.) 6 scil. χρυσιον.

57. Fabricius.

Γάϊος [1] Φαβρίκιος ἐλθὼν πρὸς Πύῤῥον, περὶ λύσεως αἰχμαλώτων, χρυσίον μὲν πολὺ διδόντος [2], οὐκ ἔλαβε· τῇ δ' ὑστεραίᾳ τὸν μέγιστον ἐλέφαντα τοῦ Πύῤῥου παρακελεύσαντος ἐξόπισθεν ἀγνοοῦντι τῷ Φαβρικίῳ ῥήξαντα [3] φωνὴν ἐπιφανῆναι [4], καὶ τούτου γενομένου, ἐπιστραφεὶς [5] ὁ Φαβρίκιος καὶ μειδιάσας, Ἐμὲ μὲν, εἶπεν, οὔτε τὸ χρυσίον ἐχθὲς, οὔτε σήμερον τὸ θηρίον ἐξέπληξε [6]. Ὑπατεύοντι δὲ τῷ Φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύῤῥου ἰατρὸς, ἐπαγγελλόμενος, ἐὰν κελεύῃ, φαρμάκοις τὸν Πύῤῥον ἀποκτενεῖν [7]. ὁ δὲ Φαβρίκιος τὴν ἐπιστολὴν πρὸς Πύῤῥον ἔπεμψεν, αἰσθέσθαι [8] κελεύσας, ὅτι καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων. Ἐπεὶ δὲ φωράσας [9] τὴν ἐπιβουλὴν ὁ Πύῤῥος τὸν μὲν ἰατρὸν ἐκρέμασε [10], τῷ δὲ Φαβρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκεν [11], οὐκ ἐδέξατο δωρεὰν, ἀλλ' ἴσους ἀντέδωκε, μὴ δόξῃ [12] λαμβάνειν μισθόν.

1 Cajus. 2 scil. Πύῤῥου. 3 ῥήσσω. 4 ἐπιφαίνομαι. 5 ἐπιστρέφω. 6 ἐκπλήττω. 7 ἀποκτείνω. 8 αἰσθάνομαι. 9 φωράω. 10 κρεμάω. 11 ἀποδίδωμι. 12 δοκέω.

58. Alexanders Freigebigkeit und Großmuth.

Ἀλέξανδρος Ξενοκράτῃ τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας [1], ὡς οὐκ ἐδέξατο [2], μὴ δεῖσθαι φήσας [3], ἠρώτησεν, εἰ μηδὲ φίλον ἔχει Ξενοκράτης· ἐμοὶ μὲν γὰρ ἔφη, μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσεν [4]. Ἐπεὶ δὲ Πῶρος ἐρωτηθεὶς ὑπ' αὐτοῦ μετὰ τὴν μάχην, Πῶς σοὶ χρήσομαι;

μαι; Βασιλικῶς, εἶπε· καὶ προσερωτηθεὶς, μή τι ἄλλο; Πάντα, εἶπεν, ἐν τῷ Βασιλικῶς ἔνεσι, θαυμάσας καὶ τὴν σύνεσιν αὐτȣ̃ καὶ τὴν ἀνδραγαθίαν, πλείονα χώραν ἧς [5] πρότερον εἶχε, προσέθηκε [6].

1 πέμπω. 2 δέχομαι. 3 φημὶ. 4 ἀρκέω. 5 statt ἐκείνης ἣν (als er vorher hatte.) 6 προστίθημι.

59. Cicero.

Μετὰ τὴν ἐν Φαρσάλῳ μάχην Πομπηΐȣ μὲν φυγόντος [1], Νονίȣ δέ τινος ἔτι παρ᾽ αὐτοῖς ἀετȣ̀ς ἑπτὰ [2] φήσαντος [3] εἶναι, καὶ διὰ τȣ̃το θαῤῥεῖν παρακαλȣ̃ντος, Κικέρων, Καλῶς ἂν παρῄνεις [4], εἶπεν, εἰ κολοιοῖς ἐπολεμȣ̃μεν. Ἐπεὶ δὲ Καῖσαρ κρατήσας, τὰς Πομπηΐȣ καταβεβλημένας [5] εἰκόνας ἀνέστησε [6] μετὰ τιμῆς, ἔφη περὶ αὐτȣ̃ λέγων ὁ Κικέρων, ὅτι τȣ̃ Πομπηΐȣ Καῖσαρ ἱστὰς ἀνδριάντας [7] τȣ̀ς ἑαυτȣ̃ πήγνυσιν [8].

1 φεύγω. 2 Die römischen Legionen hatten silberne Adler statt der Fahnen. 3 φημί. 4 παραινέω. 5 καταβάλλω. 6 ἀνίστημι. 7 ἀνδριὰς. 7 πήγνυμι.

60. Cäsar.

Γάϊος Καῖσαρ ἔτι μειράκιον ὢν, περιέπεσε [1] πειραταῖς, καὶ πρῶτον μὲν αἰτηθεὶς [2] ἀργυρίȣ πλῆθος, κατεγέλασε τῶν λῃστῶν ὡς ἀγνοȣ́ντων ὃν ἔχȣσι, καὶ διπλάσιον ὡμολόγησε [3] δώσειν· ἔπειτα φρȣρȣ́μενος, ὡς συνῆγε [4] τὰ χρήματα, προσέταττεν ἡσυχίαν αὐτῷ παρέχειν κοιμωμένῳ [5] καὶ σιωπᾶν· λόγȣς δὲ καὶ ποιήματα γράφων ἀνεγίνωσκεν αὐτοῖς, καὶ τȣ̀ς μὴ λίαν ἐπαινȣ̃ντας, ἀναισθήτȣς καὶ βαρβάρȣς ἀπεκάλει, καὶ μετὰ γέλωτος ἠπεί-

 λει

λει [6] κρεμᾷν αὐτοὺς· ὃ καὶ μετ' ὀλίγον [7] ἐποίησεν. τῶν γὰρ λύτρων κομισθέντων [8] ἀπολυθεὶς, καὶ συναγαγὼν [9] ἄνδρας ἐξ Ἀσίας καὶ πλοῖα, συνήρπασε [10] τοὺς λῃστὰς καὶ προσήλωσεν [11]. — Τὰς δὲ Ἀλεξάνδρου πράξεις ἀναγινώσκων ἐδάκρυσε, καὶ πρὸς τοὺς Φίλους εἶπεν, ὅτι Ταύτην τὴν ἡλικίαν ἔχων ἐνίκησε Δαρεῖον· ἐμοὶ δὲ μέχρι νῦν οὐδὲν πέπρακται. Πολίχνιον δ' αὐτοῦ λυπρὸν ἐν ταῖς Ἄλπεσι περιερχομένου, καὶ τῶν Φίλων διαπορούντων, εἰ καὶ ἐνταῦθά τινες στάσεις εἰσὶ καὶ ἅμιλλαι περὶ πρωτείων, ἐπιστὰς [12] καὶ σύννους γενόμενος, Μᾶλλον ἂν, ἔφη, ἐβουλόμην πρῶτος ἐνταῦθα εἶναι ἢ δεύτερος ἐν Ῥώμῃ. — Φαρνάκην νικήσας τὸν Ποντικὸν [13] ἐξ ἐφόδου [14], πρὸς τοὺς Φίλους ἔγραψε [15]· Ἦλθον, εἶδον, ἐνίκησα [16]. Λόγου δὲ παρὰ δεῖπνον ἐμπεσόντος περὶ θανάτου, ποῖος ἄριστος, Ὁ ἀπροσδόκητος, εἶπε.

1 περιπίπτω. 2 αἰτέω. 3 ὁμολογέω. 4 συνάγω. 5 κοιμάομαι. 6 ἀπειλέω. 7 fcil. χρόνον. 8 κομίζω. 9 συνάγω. 10 συναρπάζω. 11 προσηλόω. 12 ἐφίστημι. 13 fcil. βασιλέα. 14 Beim erften Angrif. 15 γράφω. 16 Veni, vidi, vici, (der Krieg war in einem Tage geendigt.)

61. Ehrfurcht gegen das Alter.

Πρεσβύτης ἐν Ὀλυμπίᾳ συντελουμένου τοῦ ἀγῶνος προθυμούμενος θεάσασθαι [1], καθέδρας ἠπόρει [2]. πολλοὺς δ' ἐπιπορευόμενος τόπους, ὑβρίζετο καὶ ἐσκώπτετο, μηδενὸς αὐτὸν παραδεχομένου· ὡς δὲ κατὰ τοὺς Λακεδαιμονίους ἧκεν, ἀνέστησαν [3] πάντες οἱ παῖδες καὶ πολλοὶ τῶν ἀνδρῶν, τοῦ τόπου ἐκχωροῦντες· Τῶν δὲ Πανελλήνων ἐπισημειωσαμένων [4] κρότῳ τὸ ἦθος καὶ ὑπερεπαινούντων, ὁ πρεσβύτης κινήσας πολιὸν

λιόν τε κάρη πολιόν τε γένειον, καὶ δακρύσας· Οἴμοι τῶν κακῶν [5], φησὶν, ὡς ἅπαντες μὲν οἱ Ἕλληνες ἐπίςανται τὰ καλὰ, χρῶνται [6] δ᾽ αὐτοῖς μόνοι Λακεδαιμόνιοι.

1 θεάομαι. 2 ἀπορέω. (er konnte keinen Sitz finden.) 3 ἀνίςημι. 4 ἐπισημειόω. 5 scil. ἕνεκα. Ein Ausruf des Kummers: welch ein Unglück. — 6 χράομαι.

62. Spartischer Muth.

Λεώνιδας λέγοντος τινὸς· Ἀπὸ τῶν οϊςευμάτων τῶν βαρβάρων [1] ἐδὲ τὸν ἥλιον ἰδεῖν ἐςὶν [2]. Ουκῦν, ἔφη, χαρίεν, εἰ ὑπὸ σκιὰν αὐτοῖς μαχεσόμεθα [3]. Ἄλλε δὲ εἰπόντος· Πάρεισιν ἐγγὺς ἡμῶν, Ουκῦν, ἔφη, καὶ ἡμεῖς αὐτῶν ἐγγύς; Πάλιν δὲ τῦ Ξέρξε γράψαντος [4]· Πέμψον [5] τὰ ὅπλα, ἀντέγραψεν, Μολὼν [6] λάβε.

1 nehmlich der Perser. 2 ἐςὶν statt ἔξεςιν. 3 μάχομαι. 4 γράφω. 5 πέμπω. 6 (Komm und hole sie).

63. Der schnelle Mahler.

Ζωγράφος ἄθλιος Ἀπελλῆ δείξας [1] εἰκόνα, Ταύτην, ἔφη, νῦν γέγραφα [2]. ὁ δὲ, καὶ ἣν μὴ λέγῃς, εἶπεν, οἶδα [3] ὅτι ταχὺ γέγραπται [4]. θαυμάζω δὲ, πῶς ὐχὶ τοιαύτας πλείες γέγραφας.

1 δείκνυμι. 2 γράφω. 3 εἰδέω. 4 γράφω.

VII.
Aus dem Athenäus.

1. Der Fresser.

Μίλων ὁ Κροτωνιάτης ἤσθιε [1] μνᾶς κρεῶν εἴκοσι, καὶ τοσαύτας ἄρτων, οἴνου τε τρεῖς χόας ἔπινεν· ἐν δὲ Ὀλυμπίᾳ ταῦρον ἀναθέμενος [2] τοῖς ὤμοις τετραετῆ, καὶ τοῦτον περιενέγκας [3] τὸ σαδίον, μετὰ ταῦτα δαιτρεύσας, μόνος αὐτὸν κατέφαγεν ἐν μιᾷ ἡμέρᾳ.

1 ἐσθίω. 2 ἀνατίθημι. 3 περιφέρω.

2. Der Possenreißer und der Affe.

Ἀνάχαρσις ὁ Σκύθης, ἐν συμποσίῳ γελωτοποιῶν εἰσαχθέντων, ἀγέλασος διέμεινε· πιθήκου δ᾽ ἐπεισαχθέντος, γελάσας ἔφη, ὡς οὗτος μὲν φύσει γελοῖός ἐστιν, ὁ δ᾽ ἄνθρωπος ἐπιτηδεύσει [3].

1 εἰσάγω. 2 διαμένω. 3 ἐπιτήδευσις.

VIII.
Gebräuche und Sitten verschiedner Völker.
Aus dem Strabo.

1. Von dem vergötterten Ochsen der Aegyptier.

Ἡ Μέμφις τὸ βασίλειον τῶν Αἰγυπτίων ἔχει ἱερὸν τοῦ Ἄπιδος. Ὁ δε βοῦς ὁ Ἄπις ἐν σηκῷ τινι τρέφε-

τρέφεται, θεὸς νομιζόμενος· διάλευκος τὸ μέτωπον καὶ ἄλλα τινὰ μέρη [1] τȢ σώματος· τὰ δ' ἄλλα μέλας, οἷς σημείοις ἀεὶ κρίνȢσι τὸν ἐπιτήδειον εἰς τὴν διαδοχὴν, ἀπογενομένȢ [2] τȢ τὴν τιμὴν ἔχοντος. Ἐςὶ δ' αὐλὴ προκειμένη τȢ σηκȢ, ἐν ᾧ καὶ ἄλλος σηκὸς τῆς μητρὸς τȢ βοὸς· εἰς ταύτην δὲ τὴν αὐλὴν ἐξαφιᾶσι [3] τὸν Ἆπιν καθ' ὥραν τινὰ, καὶ μάλιςα πρὸς ἐπίδειξιν τοῖς ξένοις· ὁρῶσι μὲν γὰρ καὶ διὰ θυρίδος ἐν τῷ σηκῷ· βȢλονται δὲ καὶ ἔξω [4]. ἀποσκιρτήσαντα [5] δ' ἐν αὐτῇ μικρὰ [6], ἀναλαμβάνȢσι πάλιν εἰς τὴν οἰκείαν ςάσιν.

1 μέρος. 2 ἀπογίγνομαι. 3 ἐξαφίημι. 4 scil. ὁρᾶν. 5 ἀποσκιρτάω. 6 eine Weile.

2. Sitten der Einwohner am Gebürg Kaukasus.

Ἐπιμνηςέον [1] τῶν παραδόξων ἐνίων, ἃ θρυλλȢ̃τι περὶ τῶν τελέως βαρβάρων, οἷον τῶν περὶ τὸν Καύκασον καὶ τὴν ἄλλην ὀρεινὴν [2]. Τοῖς μὲν γὰρ νόμιμον εἶναι φασὶ, τὸν φῦντα θρηνεῖν, τὸν δ' αὖ θανόντα χαίροντας ἐκπέμπειν δόμων· ἑτέροις δὲ, μηδένα ἀποκτείνειν τῶν ἐξαμαρτόντων τὰ μέγιςα, ἀλλ' ἐξορίζειν μόνον μετὰ τέκνων, ὑπεναντίως τοῖς Δέρβιξι [3]· καὶ γὰρ ἐπὶ μικροῖς [4] ȣ̃τοι σφάττȢσι. σέβονται δὲ γῆν οἱ Δέρβικες· θύȢσι δ' ȣ̓δὲν θῆλυ ȣ̓δὲ ἐσθίȢσι. τȢ̀ς δ' ὑπὲρ ἑβδομήκοντα ἔτη γεγονότας σφάττȢσι· ἀναλίσκȢσι δὲ τὰς σάρκας οἱ ἄγχιςα [5] γένȢς. τὰς δὲ γραῖας ἀπάγχȢσιν, εἶτα θάπτȢσι· τȢ̀ς δὲ ἐντὸς [6] ἑβδομήκοντα ἐτῶν ἀποθανόντας [7] ȣ̓κ ἐσθίȢσιν, ἀλλὰ θάπτȢσι· Σίγιννοι δὲ τ' ἄλλα μὲν περσίζȢσιν, ἱππαρίοις δὲ χρῶνται [8] μικροῖς δασέσιν [9], ἅπερ ἱππότην μὲν ὀχεῖν ȣ̓ δύνανται· τεθρίππα δὲ ζευγνύȢσιν, ἡνιοχȢ̃σι δὲ γυναῖκες, ἐκ παίδων [10] ἠσκημέ-

κημέναι [11]. ἡ δ' ἄριστα ἡνιοχοῦσα συνοικεῖ ᾧ βούλεται [12]. τινὰς δ' ἐπιτηδεύειν φασὶν, ὅπως ὡς μακροκεφαλώτατοι φανοῦνται [13], καὶ προπεπτωκότες [14] τοῖς μετώποις. Ταπυρίων δ' ἐστὶ [15], καὶ τὸ τοὺς μὲν ἄνδρας μελανειμονεῖν, καὶ μακροκομεῖν· τὰς δὲ γυναῖκας λευχειμονεῖν, καὶ βραχυκομεῖν· οἰκοῦσι δὲ μεταξὺ Δερβίκων, καὶ Ὑρκανῶν· καὶ ὁ ἀνδρειότατος κριθεὶς [16] γαμεῖ, ἣν βούλεται. Κάσπιοι δὲ τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη λιμοκτονήσαντες [17], εἰς τὴν ἐρημίαν ἐκτιθέασιν [18]. ἄποθεν δὲ σκοπεύοντες, ἐὰν μὲν ὑπ' ὀρνίθων [19] κατασπωμένους [20] ἀπὸ τῆς κλίνης ἴδωσιν, εὐδαιμονίζουσι· ἐὰν δ' ὑπὸ θηρίων ἢ κυνῶν, ἧττον [21]· ἐὰν δ' ὑπὸ μηδενὸς [22] κακοδαιμονίζουσι.

1 ἐπιμνάομαι. 2 scil. γῆν. 3 Die Derbiker, ein barbarisches Volk in Asien. 4 wegen geringer Ursachen. 5 von ἄγχι — die nächsten Verwandten. 6 vor dem 70sten Jahr. 7 ἀποθνήσκω. 8 χράομαι. 9 δασὺς. 10 von Jugend auf. 11 ἀσκέω. 12 verheirathet sich mit wem sie will. 13 φαίνω. 14 προπίπτω mit hervorragenden Stirnen. 15 scil. ὁ νόμος oder ἔθος. 16 κρίνω. 17 λιμοκτονέω. 18 ἐκτίθημι. 19 ὄρνις. 20 κατασπάω. 21 scil. εὐδαιμονίζουσι. 22 scil. κατασπωμένους ἴδωσι.

3. Sitten der Massageten.

Μασσαγέται ἐδήλωσαν [1] τὴν σφετέραν ἀρετὴν ἐν τῷ πρὸς Κῦρον πολέμῳ [2]· περὶ ὧν θρυλλοῦσι πολλοί· ὅτι κατοικοῦσιν οἱ μὲν ὄρη [3], τινὲς δ' αὐτῶν πεδία· οἱ δὲ ἕλη [4], ἃ ποιοῦσιν οἱ ποταμοί· οἱ δὲ τὰς ἐν τοῖς ἕλεσι νήσους· θεὸν δὲ ἥλιον μόνον ἡγοῦνται [5]· τούτῳ δὲ ἱπποθυτοῦσι. θάνατος δὲ νομίζεται παρ' αὐτοῖς ἄριστος, ὅταν γηράσαντες [6] κατακοπῶσι [7]

μετὰ

μετὰ τῶν προβατείων κρεῶν, καὶ ἀναμὶξ βρωθῶσι [8]. τὺς δὲ νόσῳ θανόντας ῥίπτυσιν ὡς ἀσεβεῖς, καὶ ἀξίυς ὑπὸ θηρίων βεβρῶσθαι [9]. ἀγαθοὶ δὲ ἱππόται, καὶ πεζοὶ [10]. τόξοις δὲ χρῶνται [11], καὶ μαχαίραις, καὶ θώραξι, καὶ σαγάρεσι χαλκαῖς· ζῶναι δὲ αὐτοῖς εἰσὶ χρυσαῖ, καὶ διαδήματα ἐν ταῖς μάχαις· οἵ τε ἵπποι χρυσοχάλινοι, μασχαλιςῆρες δὲ χρυσοῖ. ἄργυρος δ᾽ ὐ γίνεται παρ᾽ αὐτοῖς, σίδηρος δ᾽ ὀλίγος· χαλκὸς δὲ, καὶ χρυσὸς ἄφθονος. Οἱ μὲν ὖν ἐν ταῖς νήσοις ὐκ ἔχοντες σπόριμα, ῥιζοφαγῦσι, καὶ ἀγρίοις χρῶνται καρποῖς· ἀμπέχονται δὲ τὺς τῶν δένδρων φλοιὺς. ὐδὲ γὰρ βοσκήματα ἔχυσι· πίνυσι δὲ τὸν ἐκ τῶν δένδρων καρπὸν ἐκθλίβοντες. Οἱ δ᾽ ἐν τοῖς ἕλεσιν [12] ἰχθυοφαγῦσιν· ἀμπέχονται δὲ τὰ τῶν φωκῶν δέρματα τῶν ἐκ θαλάττης ἀνατρεχυσῶν. Οἱ δ᾽ ὄρειοι τοῖς ἀγρίοις τρέφονται καὶ αὐτοὶ καρποῖς· ἔχυσι δὲ καὶ πρόβατα ὀλίγα, ὥστ᾽ ὐδὲ κατακόπτυσι, φειδόμενοι [13] τῶν ἐρίων χάριν καὶ τῦ γάλακτος [14]· τὴν δ᾽ ἐσθῆτα ποικίλλυσιν ἐπιχρίςοις φαρμάκοις, δυσεξίτηλον ἔχυσι τὸ ἄνθος. Οἱ δὲ πεδινοὶ, καὶ περ ἔχοντες χώραν, ὐ γεωργῦσιν· ἀλλὰ ἀπὸ προβάτων καὶ ἰχθύων ζῶσι [15] Νομαδικῶς, καὶ Σκυθικῶς.

1 δηλόω. 2 denn Kyrus kam in dem Kriege gegen diese Nation und ihre Königin Tomyris um. 3 ὄρος. 4 ἕλος. 5 ἡγέομαι. 6 γηράσκω. 7 κατακόπτω. 8 βρώσκω. 9 ebenfalls von βρώσκω. 10 scil. εἰσὶ. 11 χράομαι. 12 scil. οἰκῦντες. 13 scil. αὐτῶν (τῶν προβάτων) 14 γάλα. 15 ζάω.

4. Sitten der Perser.

Οἱ Πέρσαι ἀγάλματα μὲν καὶ βωμὺς ὐχ ἱδρῦονται· θύυσι δὲ ἐν ὑψηλῷ τόπῳ. Τιμῶσι δὲ Ἥλιον,

λιον, καὶ Σελήνην, καὶ πῦρ καὶ γῆν καὶ ἀνέμους καὶ ὕδωρ. Εἰς ποταμὸν οὔτ᾽ οὐροῦσιν, οὔτε νίπτονται Πέρσαι, οὐδὲ λούονται, οὐδὲ νεκρὸν ἐμβάλλουσιν, οὐδ᾽ ἄλλα τῶν δοκούντων εἶναι μυσαρά· ὅτῳ [1] δ᾽ ἂν θύσωσι θεῷ, πρῶτον τῷ πυρὶ εὔχονται. Βασιλεύονται δ᾽ ὑπὸ τῶν ἀπὸ γένους [2]· ὁ δ᾽ ἀπειθῶν [3], ἀποτμηθεὶς [4] κεφαλὴν καὶ βραχίονα ῥίπτεται. Γαμοῦσι δὲ πολλάς· τιθέασι [5] δὲ καὶ οἱ βασιλεῖς ἆθλα πολυτεκνίας κατ᾽ ἔτος [6]· τὰ δὲ τρεφόμενα μέχρι τῶν τεττάρων ἐτῶν, οὐκ ἄγεται τοῖς γονεῦσιν εἰς ὄψιν. Ἀπὸ δὲ πέντε ἐτῶν ἕως τετάρτου καὶ εἴκοσι παιδεύονται τοξεύειν καὶ ἀκοντίζειν, καὶ ἱππάζεσθαι, καὶ ἀληθεύειν, διδασκάλοις τε λόγων τοῖς σωφρονεστάτοις χρῶνται [7]. Συνάγουσι [8] δ᾽ εἰς ἕνα τόπον ψόφῳ χαλκοῦ πρὸ ὄρθρου, διεγείροντες ἐπὶ ἐξοπλισίαν, ἢ θήραν· τάξαντες [9] δ᾽ ἀνὰ πεντήκοντα [10] ἡγεμόνα τῶν βασιλέως τινὰ παίδων αὐτοῖς ἢ Σατράπου, τρέχοντι [11] κελεύουσιν ἕπεσθαι, χωρίον ἀφορίσαντες τριάκοντα ἢ τετταράκοντα σταδίων. Ἀπαιτοῦσι δὲ καὶ λόγον ἑκάστου μαθήματος, ἅμα καὶ μεγαλοφωνίαν, καὶ πνεῦμα, καὶ πλευρὰν ἀσκοῦντες, καὶ πρὸς καῦμα δὲ, καὶ πρὸς ψῦχος, καὶ ὄμβρον, καὶ χειμάῤῥου διαβάσεις, ὥστ᾽ ἄβροχα φυλάττειν καὶ ὅπλα καὶ ἐσθῆτα· καὶ ποιμαίνειν δὲ, καὶ ἀγραυλεῖν, καὶ καρποῖς ἀγρίοις χρῆσθαι [12], δρυοβαλάνοις, ἀχράδι [13]. Ἡ δὲ καθ᾽ ἡμέραν δίαιτα [14] ἄρτος μετὰ τὸ γυμνάσιον, καὶ μάζα, καὶ κάρδαμον, καὶ ἁλῶν χόνδρος, καὶ κρέα ὀπτὰ, ἢ ἑφθὰ ἐξ ὕδατος· ποτὸν δ᾽ ὕδωρ. Θηρεύουσι δὲ, σαύνια ἀφ᾽ ἵππων βάλλοντες, καὶ σφενδονοῦντες. Δείλης [15] δὲ φυτουργεῖν, καὶ ῥιζοτομεῖν ἀσκοῦσι, καὶ ὁπλοποιεῖν, καὶ λίνα καὶ ἄρκυς φιλοτεχνεῖν· οὐχ ἅπτονται δὲ τῶν θηρευμάτων οἱ παῖδες, ἀλλὰ κο-

μίζειν

μίζειν οἴκαδε ἔθος [16]. Τίθεται δ' ὑπὸ τῦ βασιλέως ἄθλα δρόμυ, καὶ τῶν ἐν τοῖς πεντάθλοις. — Ἐν οἴνῳ τὰ μέγιστα βυλεύονται, καὶ βεβαιότερα τῶν ἐν νήψει τίθενται [17]. Τῶν κατὰ τὰς ὁδὺς συναντώντων [18], τὺς μὲν γνωρίμυς καὶ ἰσοτίμυς φιλῦσι προσιόντας, τοῖς δὲ ταπεινοτέροις παραβάλλυσι τὴν γνάθον, καὶ δέχονται ταύτῃ τὸ φίλημα· οἱ δ' ἔτι ταπεινότεροι προσκυνῦσι μόνον. Θάπτυσι δὲ, κηρῷ περιπλάσσοντες τὰ σώματα· τὺς δὲ Μάγυς ὐ θάπτυσιν ἀλλ' οἰωνοβρότυς ἐῶσι [19].

1 attisch statt ὥτινι. was für einen Gott auch u. s. w. 2 der Sinn ist: die Königswürde ist erblich. 3 scil. τῷ βασιλεῖ. 4 ἀποτέμνω. 5 τίθημι. 6 jährlich. 7 χράομαι. 8 scil. τὺς νέυς. 9 τάσσω. 10 jedesmal über funfzig setzen sie einen Anführer. 11 scil. τύτῳ τῷ ἡγεμόνι. 12 χράομαι. 13 ἀχράς. 14 ihre tägliche Nahrung 15 am Abend. Die Bestimmungen der Zeit werden häufig mit dem bloßen Genitiv ausgedrückt. Man muß die Präposition διὰ oder ἐκ hinzudenken. 16 scil. ἐστί. 17 sie halten diese Entschlüsse für fester als die, welche sie nüchtern gefaßt haben. 18 συναντάω. 19 ἐάω.

5. Assyrer.

Τὰ ἔθη παρὰ τοῖς Ἀσσυρίοις τἄλλα μὲν ἔοικε [1] τοῖς Περσικοῖς· ἴδιον δὲ, τὸ καθεστάναι [2] τρεῖς ἄνδρας σώφρονας ἑκάστης ἄρχοντας φυλῆς, οἳ τὰς ἐπιγάμυς κόρας προσάγοντες εἰς τὸ πλῆθος, ἀποκηρύττυσι τοῖς νυμφίοις ἀεὶ τὰς ἐντιμωτέρας πρώτας· ὕτω μὲν αἱ συζυγίαι τελῦνται. — Τὺς δ' ἀῤῥώστυς εἰς τὰς τριόδυς ἐκτιθέντες [3], πυνθάνονται τῶν παριόντων, εἴτις τὶ ἔχοι λέγειν τῦ πάθυς ἄκος· ὐδεὶς τὲ ἐστὶν ὕτω κακὸς τῶν παριόντων, ὃς ὐκ ἐντυχὼν [4], εἴ τι φρονεῖ σωτήριον, ὑποτίθεται. — Ἐσθὴς δ' αὐτοῖς

τοῖς ἐςὶ χιτὼν λινȣ̃ς ποδήρης, καὶ ἐπενδύτης ἐρεȣ̃ς, ἱμάτιον λευκόν· φορȣ̃σι δὲ καὶ σφραγῖδα, καὶ σκῆπτρον ȣ̓ λιτὸν, ἀλλ᾽ ἐπίσημον, ἔχον ἐπάνω μῆλον ἢ ῥόδον ἢ κρῖνον ἢ τὶ τοιȣ̃τον· ἀλείφονται δ᾽ ἐκ τȣ̃ σησάμȣ. θρηνȣ̃σι δὲ τȣ̀ς ἀποθανόντας, ὡς οἱ Αἰγύπτιοι καὶ πολλοὶ τῶν ἄλλων. θάπτȣσι δ᾽ ἐν μέλιτι, κηρῷ περιπλάσαντες [5].

1 εἴκω. Weil ἔθη der Plural eines Neutrums ist, so steht das Verbum im Singular. 2 καθίςημι. 3 ἐκτίθημι. 4 ἐντυγχάνω. 5 περιπλάσσω.

IX.

Völkersitten aus dem Stobäus.

1. Die Taurer.

Ταῦροι Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τȣ̀ς εὐνȣςάτȣς [1] τῶν φίλων συγκαταθάπτȣσιν. ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλȣ, ἢ μέρος, ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον, πρὸς τὴν ἀξίαν τȣ̃ τελευτήσαντος [2].

1 εὔνȣς. 2 τελευτάω.

2. Inder.

Ἰνδοὶ συγκατακαίȣσιν [1], ὅταν τελευτήσωσι, τῶν γυναικῶν τὴν προσφιλεςάτην· αὐτῶν δὲ ἐκείνων ἀγὼν μέγιςος γίνεται, σπȣδαζόντων νικῆσαι [2] ἑκάςην τῶν φίλων [3].

1 lassen mit sich verbrennen. 2 νικάω. 3 die Freunde von jeder geben sich Mühe, daß sie den Sieg erlange, und die Ehre habe, mit verbrannt zu werden.

3. Begräbnis der Perser und Aegypter.

Πέρσαι καὶ Αἰγύπτιοι ὐχ ὅσιον ἡγῦνται [1] τὺς νεκρὺς καίειν. Πέρσαι γὰρ θεὸν νομίζυσιν εἶναι τὸ πῦρ. διὸ ὐ δίκαιον εἶναι λέγυσι θεῷ νέμειν νεκρὸν ἀνθρώπυ. Αἰγυπτίοισι δὲ νενόμισαι [2] τὸ πῦρ θηρίον εἶναι ἔμψυχον. πάντα δὲ αὐτὸ κατεσθίειν, ὅ'ν περ λάβῃ, πλησθὲν [3] δὲ αὐτὸ τῆς βορῆς, συναποθνήσκειν τῷ κατεσθιομένῳ [4]. ὐκῦν θηρίῳ ὐδαμῶς σφιν νόμος ἐςὶ τὸν νέκυν διδόναι· καὶ διὰ ταῦτα ταριχεύυσιν, ἵνα μὴ κείμενος ὑπὸ εὐλῶν καταβρωθῇ [5].

1 ἡγέομαι. 2 νομίζω. 3 πλήθω. 4 scil. νενόμισαι aus dem vorhergehenden. 5 καταβρώσκω.

4. Aethiopier.

Αἰθίοπες τὰς ἀδελφὰς μάλιςα τιμῶσι [1], καὶ τὰς διαδοχὰς μάλιςα καταλείπυσιν οἱ βασιλεῖς ὐ τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ' ὁ διαδεξάμενος [2] μὴ ᾖ, τὸν κάλλιςον ἐκ πάντων καὶ μαχιμώτατον αἱρῦνται βασιλέα. ἀσκῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην. ἄθυροι δ' αὐτῶν αἱ οἰκίαι [3], καὶ ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν, ὐδὲ εἷς κλέπτει.

1 τιμάω. 2 διαδέχομαι. 3 scil. εἰσί.

5. Galaktophagen.

Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἄοικοι εἰσὶν ὥσπερ καὶ οἱ πλεῖςοι Σκυθῶν. Τροφὴν ἔχυσι γάλα μόνον ἵππειον, ἐξ ὗ τυροποιῦντες ἐσθίυσι καὶ πίνυσι, καὶ εἰσὶ διὰ τῦτο δυσμαχώτατοι, σὺν αὐτοῖς πάντῃ τὴν τροφὴν ἔχοντες. Εἰσὶ δὲ καὶ δικαιότατοι. Παρὰ

τύτοις

τέτοις ἐδὲ εἶς ἔτε φθονῶν, ἔτε μισῶν, ἔτε φοβέμενος ἰσορήθη [1], διὰ τὴν τἔ βίε κοινότητα καὶ δικαιοσύνην. μάχιμοι δ᾽ ἐχ᾽ ἧττον αὐτῶν αἱ γυναῖκες, ἢ οἱ ἄνδρες, καὶ συμπολεμἕσιν αὐτοῖς, ὅταν δέῃ [2].

1 ἰσορήθη soviel als λέγεται, von ἰσορέω. 2 δεῖ.

6. Celten.

Κελτοὶ σιδηροφορἕντες τὰ κατὰ πόλιν πάντα πράττεσι. Μείζω [1] δ᾽ ἐςὶν ἐπιτίμια κατὰ τἔ ξένον ἀνελόντος [2] ἢ πολίτην. ὑπὲρ τἔ μὲν γὰρ θάνατος ἡ ζημία· ὑπὲρ δὲ τἔ πολίτε, φυγή. Τὰς δὲ θύρας τῶν οἰκιῶν ἐδέποτε κλείεσι.

1 μείζω zusammengezogen statt μείζονα. 2 ἀναιρέω.

7. Sauromaten.

Σαυρομάται ταῖς γυναιξὶ πάντα πείθονται ὡς δεσποίναις. παρθένον δὲ ἐ πρότερον συνοικίζεσι πρὸς γάμον, πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ.

8. Phrygier.

Φρύγες ὅρκοις ἐ χρῶνται [1], ἔτ᾽ ὀμνύντες, ἔτε ἄλλες ἐξορκἕντες. Ἐὰν δέ τις παρ᾽ αὐτοῖς γεωργικὸν βἕν ἀποκτείνῃ, ἢ σκεῦος τὸ περὶ γεωργίαν κλέψῃ [2], θανάτῳ ζημιἕσι [3].

1 χράομαι. 2 κλέπτω. 3 ζημιόω.

9. Lykier.

Λύκιοι τὰς γυναῖκας μᾶλλον ἢ τὲς ἄνδρας τιμῶσι [1], καὶ καλἕνται μητρόθεν, τάς τε κληρονομιας

μίας ταῖς θυγατράσι[2] λείπουσιν, οὐ τοῖς υἱοῖς. ὃς δ᾽ ἂν ἐλεύθερος ἁλῷ[3] κλέπτων, δοῦλος γίνεται.

1 τιμάω. 2 θυγάτηρ. 3 ἁλίσκω.

10. Perser.

Πέρσαις νόμος ἦν, ὁπότε βασιλεὺς ἀποθάνοι[1], ἀνομίαν εἶναι πέντε ἡμερῶν, ἵν᾽ αἴσθοιντο[2], ὅσου ἄξιός ἐστιν βασιλεὺς καὶ ὁ νόμος.

1 ἀποθνήσκω. 2 αἰσθάνομαι.

11. Iberier.

Ἰβήρων αἱ γυναῖκες κατ᾽ ἔτος ὅ, τι ἂν ἐξυφάνωσιν[1] ἐν κοινῷ δεικνύουσιν. ἄνδρες δὲ χειροτονητοὶ κρίναντες[2], τὴν πλεῖστα ἐργασαμένην[3] προτιμῶσιν. ἔχουσι δὲ καὶ μέτρον τι ζώνης, ἣ τὴν γαστέρα περιλαβεῖν ἂν μὴ δυνηθῶσιν[4], αἰσχρὸν ἡγοῦνται[5].

1 ἐξυφαίνω. 2 κρίνω. 3 ἐργάζομαι. 4 δύναμαι. 5 ἡγέομαι.

X.

Vergleichung der Sitten mehrerer Völker.

Aus dem Sextus Empiricus.

1.

Τὸ ἐστίχθαι[1] παρ᾽ ἡμῖν[2] μὲν αἰσχρὸν καὶ ἄτιμον εἶναι δοκεῖ. πολλοὶ δὲ Αἰγυπτίων καὶ Σαρματῶν

ςίζȣσι τὰ γεννώμενα [3]· τὸ, τε ἐλλόβια ἔχειν τȣ̀ς ἄῤῥενας, παρ᾽ ἡμῖν μὲν αἰσχρόν ἐςι, παρ᾽ ἐνίοις δὲ τῶν βαρβάρων, (ὥσπερ καὶ Σύρχις) εὐγενείας ἐςὶ σύνθημα· τινὲς δὲ καὶ τὰς ῥῖνας τῶν παίδων τιτρώσκοντες, κρίκȣς ἀπ᾽ αὐτῶν ἀργυρέȣς ἢ χρυσȣ̃ς ἀπαρτῶσιν [4], ὃ παρ᾽ ἡμῖν ȣ̓κ ἂν ποιήσειε [5] τις· ὥσπερ ȣ̓́τε ἀνθοβαφῆ καὶ ποδήρη τις ἄῤῥην ἐνταῦθα [6] ἀμφιέσαιτο [7] ἐσθῆτα· καίτοι παρὰ Πέρσαις εὐπρεπεςάτȣ, τȣ̃ παρ᾽ ἡμῖν αἰσχρȣ̃ τȣ́τȣ, δοκȣ̃ντος εἶναι.

1 ςίζω. 2 in meinem Vaterlande. Nur ist das Vaterland dieses Schriftstellers, der im 3ten Jahrhundert nach Christi Geburt lebte, nicht mit Gewisheit bekannt. 3 ihre Kinder, von γεννάω. 4 ἀπαρτάω. 5 ποιέω. 6 hier zu Lande. 7 ἀμφιέννυμι.

2. Ἄθεσμον ἐςὶ παρ᾽ ἡμῖν, μητέρα ἢ ἀδελφὴν ἰδίαν γαμεῖν. Πέρσαι δὲ, καὶ μάλιςα αὐτῶν οἱ σοφίαν ἀσκεῖν δοκȣ̃ντες οἱ Μάγοι, γαμȣ̃σι τὰς μητέρας· καὶ οἱ Αἰγύπτιοι τὰς ἀδελφὰς ἄγονται πρὸς γάμον. Ἀλλὰ καὶ τὸ ἀνθρωπείων γεύσασθαι [1] σαρκῶν, παρ᾽ ἡμῖν μὲν ἄθεσμον, παρ᾽ ὅλοις δὲ βαρβάροις ἔθνεσιν [2] ἀδιάφορόν ἐςι. Τὸ, τε ἀνθρωπείῳ μιαίνειν αἵματι βωμὸν Θεȣ̃, παρ᾽ ἡμῖν μὲν τοῖς πολλοῖς ἄθεσμον. Λάκωνες δὲ ἐπὶ τȣ̃ βωμȣ̃ τῆς Αρτέμιδος μαςίζονται πικρῶς, ὑπὲρ [3] τȣ̃ πολλὴν αἵματος ἐπὶ τȣ̃ βωμȣ̃ τῆς Θεȣ̃ γενέσθαι ῥύσιν. ἀλλὰ καὶ τῷ Κρόνῳ θύȣσιν ἄνθρωπόν τινες, καθάπερ καὶ Σκύθαι τῇ Ἀρτέμιδι τȣ̀ς ξένȣς· ἡμεῖς δὲ χραίνεσθαι τὰ ἱερὰ δοκȣ̃μεν ἀνθρώπȣ φόνῳ.

1 γεύομαι. 2 ἔθνος. 3 so daß — viel Blut auf den Altar sprützt.

3. Τȣ̀ς

3. Τὲς πατέρας ὑπὸ τῶν παίδων ἐπιμελείας ἀξιῦσθαι [1] κελεύει παρ' ἡμῖν νόμος· οἱ Σκύθαι δὲ ὑπὲρ τὰ ἑξήκοντα ἔτη γενομένες αὐτὲς ἀποσφάττεσι. καὶ ὁ Σόλων Ἀθηναίοις τὸν νόμον ἔθετο [2], καθ' ὃν φονεύειν ἑκάςῳ τὸν ἑαυτῦ παῖδα ἐπέτρεψε [3]· παρ' ἡμῖν δὲ τὸ τὲς παῖδας φονεύειν, ἀπαγορεύεσιν οἱ νόμοι· οἵτε Ῥωμαίων νομοθέται, τὲς παῖδας ὑποχειρίες καὶ δέλες τῶν πατέρων κελεύεσιν εἶναι· καὶ τῆς ἐσίας τῶν παίδων μὴ κυριεύειν τὲς παῖδας, ἀλλὰ τὲς πατέρας, ἕως ἂν ἐλευθερίας οἱ παῖδες τύχωσι [4], κατὰ [5] τὲς ἀργυρωνήτες· παρ' ἑτέροις δὲ ὡς τυραννικὸν τῦτο ἐκβέβληται [6].

1 ἀξιόω. 2 τίθημι. 3 ἐπιτρέπω. 4 τυγχάνω. 5 eben so wie die Sklaven. 6 ἐκβάλλω.

4. Νόμος ἐςὶ τὲς ἀνδροφόνες κολάζεσθαι· οἱ μονομάχοι δὲ φονεύοντες, πολλάκις καὶ τιμῆς τυγχάνεσιν. ἀλλὰ καὶ τὸ τύπτειν ἐλευθέρες οἱ νόμοι κωλύεσιν. οἱ ἀθληταὶ δὲ τύπτοντες ἐλευθέρες ἄνδρας, πολλάκις καὶ ἀναιρῦντες, τιμῶν καὶ ςεφάνων ἀξιῦνται [1]· νόμος τε παρ' ἡμῖν κελεύει, μιᾷ [2] συνοικεῖν ἕκαςον. Θρᾳκῶν δὲ καὶ Γαιτέλων, (Λιβύων δὲ ἔθνος τῦτο) πολλαῖς ἕκαςος συνοικεῖ.

1 ἀξιόω. 2 scil. γυναικὶ.

5. Τὸ λῃςεύειν, παρ' ἡμῖν μὲν παράνομον καὶ ἄδικον ἐςὶ, παρὰ δὲ πολλοῖς τῶν βαρβάρων ἐκ ἄτοπον. Φασὶ δὲ, ὅτι καὶ εὐκλέες τῦτο οἱ Κίλικες ἐνόμιζον εἶναι· ὡς καὶ τὲς ἐν λῃςείᾳ τελευτήσαντας [1] τιμῆς ἀξίες εἶναι δοκεῖν. Φασὶ [2] δέ τινες, ὅτι καὶ οἱ Λάκωνες τὲς κλέψαντας [3] ἐκόλαζον, ἐ διὰ τὸ κεκλοφέναι [4], ἀλλὰ διὰ τὸ πεφωρᾶσθαι [5].

1 τελευτάω. 2 φημί. 3 κλέπτω. 4 ebenfalls von κλέπτω. 5 φωράω.

6. Αἱ Ἀμάζονες ἐχώλευον τὰ ἄῤῥενα τῶν περὶ αὐτὰς γεννωμένων [1], ὑπὲρ [2] τȣ̃ μηδὲν ἀνδρεῖον αὐτὰ ποιῆσαι [3] δύνασθαι. περὶ πόλεμον δὲ ἔχον [4] αὗται, τȣ̃ ἐναντίȣ παρ᾽ ἡμῖν καλῶς ἔχειν νενομισμένȣ [5].

1 γεννάω. 2 so daß sie keinen Beweis der Tapferkeit geben. d. i. nicht zu Felde ziehen können. 3 ποιέω. 4 ἔχω. Sie beschäftigten sich. 5 νομίζω. da das Gegentheil bei uns für anständig gehalten wird.

7. Παραπλήσια ἐςὶ [1] λέγειν καὶ περὶ τῆς εἰς τȣ̀ς κατοιχομένȣς ὁσιότητος· οἱ μὲν γὰρ ὁλοκλήρως περιςείλαντες [2] τȣ̀ς ἀποθανόντας [3], γῇ καλύπτȣσιν, ἀσεβὲς εἶναι νομίζοντες ἡλίῳ δεικνύειν αὐτȣ̀ς. Αἰγύπτιοι δὲ τὰ ἔντερα ἐξελόντες [4], ταριχεύȣσιν αὐτȣ̀ς, καὶ σὺν ἑαυτοῖς ὑπὲρ γῆς ἔχȣσιν. Αἰθιόπων δὲ οἱ Ἰχθυοφάγοι [5], εἰς τὰς λίμνας ἐμβάλλȣσιν αὐτȣ̀ς ὑπὸ τῶν ἰχθύων βρωθησομένȣς [6]· Ὑρκανοὶ δὲ κυσὶν [7] αὐτȣ̀ς ἐκτίθενται [8]. Ινδῶν δὲ ἔνιοι γυψὶ [9]. Τρωγλωδύτας δέ φασιν ἐπὶ τινα γεώλοφον ἄγειν τὸν ἀποθανόντα [10]· εἶτα δεσμεύσαντας [11] αὐτȣ̃ τὴν κεφαλὴν πρὸς τȣ̀ς πόδας, λίθοις βάλλειν μετὰ γέλωτος· εἶθ᾽ ὅταν χώσωσιν [12] αὐτὸν τοῖς βαλλομένοις [13], ἀπαλλάσσεσθαι [14]. τινὲς δὲ βάρβαροι τȣ̀ς μὲν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας [15] θύσαντες [16] ἐσθίȣσι· τȣ̀ς δὲ ἐν νεότητι ἀποθανόντας γῇ κρύπτȣσιν. ἔνιοι δὲ καίȣσι τȣ̀ς τετελευτηκότας [17]. ὧν οἱ μὲν ἀναλαβόντες αὐτῶν τὰ ὀςέα κηδεύȣσιν· οἱ δὲ ἀφροντίςως καταλείπȣσιν ἐῤῥιμμένα [19]. Πέρσας δέ φασιν ἀνασκολοπίζειν τȣ̀ς

ἀπο-

ἀποθανόντας, καὶ νίτρῳ ταριχεύειν, εἶθ᾽ ὕτω τελαμῶσι [19] συνειλεῖν.

1 man kann. 2 περιςέλλω. 3 ἀποθνήσκω. 4 ἐξαιρέω. 5 der Stamm unter den Aethiopiern, der den Namen der Ichthyophagen (Fischfresser) von seiner gewöhnlichen Nahrung führt. 6 βρώσκω. 7 κύων. 8 ἐκτίθημι. 9 γύψ. 10 ἀποθνήσκω. 11 δεσμεύω. 12 χόω. 13 scil. λιθοῖς. 14 hängt noch ab von dem obigen φασί. 15 γίνομαι. 16 θύω. 17 τελευτάω. 18 ῥίπτω. 19 τελαμὼν.

XI.

Vom Thierdienst der Aegypter.

Aus dem Diodor von Sicilien.

1.

Περὶ τῶν ἀφιερωμένων ζώων κατὰ Αἴγυπτον εἰκότως φαίνεται πολλοῖς παράδοξον τὸ γινόμενον, καὶ ζητήσεως ἄξιον. σέβονται γὰρ ἔνια τῶν ζώων Αἰγύπτιοι καθ᾽ ὑπερβολὴν [1], ὐ ζῶντα [2] μόνον, ἀλλὰ καὶ τελευτήσαντα· οἷον τὺς τε αἰλὔρυς, καὶ τὺς ἰχνεύμονας καὶ κύνας· ἔτι δὲ ἱέρακας, καὶ τὰς καλυμένας παρ᾽ αὐτοῖς ἴβεις· πρὸς δὲ τύτοις τὺς τε λύκυς, καὶ τὺς κροκοδείλυς, καὶ ἕτερα τοιαῦτα πλείω [3].

1 übermäßig. 2 ζάω. 3 zusammengezogen statt πλείονα.

2. Ἑκάςῳ γένει τῶν σεβασμῦ τυγχανόντων ζώων ἀφιέρωται χώρα, πρόσοδον φέρυσα ἀρκῦσαν εἰς

ἐπιμέλειαν καὶ τροφὴν αὐτῶν. ὅταν δ' ἀποθάνῃ[1] τι τῶν εἰρημένων[2], σινδόνι κατακαλύψαντες[3], καὶ μετ' οἰμωγῆς τὰ στήθη καταπληξάμενοι[4], φέρουσιν εἰς τὰς ταριχείας. ἔπειτα θεραπευθέντων[5] αὐτῶν κεδρίᾳ καὶ τοῖς δυναμένοις εὐωδίαν παρέχεσθαι καὶ πολυχρόνιον τοῦ σώματος τήρησιν, θάπτουσιν ἐν ἱεραῖς θήκαις.

1 ἀποθνήσκω. 2 scil. ζώων von ῥέω. 3 κατακαλύπτω. 4 καταπλήσσω. 5 θεραπεύω.

3. Ὃς δ' ἂν τούτων τι τῶν ζώων ἑκὼν διαφθείρῃ, θανάτῳ περιπίπτει· πλὴν ἐὰν αἴλουρον ἢ τὴν ἶβιν ἀποκτείνῃ. ταῦτα δὲ ἐάν τε ἄκων ἀποκτείνῃ, πάντως θανάτῳ περιπίπτει, τῶν ὄχλων συντρεχόντων καὶ τὸν πράξαντα[1] δεινότατα διατιθέντων[2], ἄνευ κρίσεως· διὰ δὲ τὸν ἐπὶ τούτοις φόβον, οἱ θεασάμενοι[3] τεθνηκός[4] τι τῶν ζώων τούτων, ἀποστάντες[5] μακρὰν βοῶσιν[6], ὀδυρόμενοί τε καὶ μαρτυρόμενοι κατειλῆφθαι[7] τὸ τετελευτηκός.[8] οὕτω δ' ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐντέτηκεν[9] ἡ πρὸς τὰ ζῶα ταῦτα δεισιδαιμονία, καὶ τοῖς πάθεσιν ἀμεταθέτως ἕκαστος διάκειται[10] πρὸς τὴν τούτων[11] τιμὴν, ὥστε, καὶ καθ' ὃν χρόνον Πτολεμαῖος μὲν ὁ βασιλεὺς ὑπὸ Ῥωμαίων οὔπω προσηγορεύετο φίλος, οἱ δ' ὄχλοι πᾶσαν εἰσεφέροντο σπουδὴν ἐκθεραπεύοντες τοὺς παρεπιδημοῦντας τῶν ἀπὸ τῆς Ἰταλίας καὶ σπεύδοντες μηδεμίαν ἀφορμὴν ἐγκλήματος ἢ πολέμου δοῦναι[12], διὰ τὸν φόβον· ἀποκτείναντος Ῥωμαίου τινὸς αἴλουρον, καὶ τοῦ πλήθους συνδραμόντος[13] ἐπὶ τὴν οἰκίαν τοῦ πράξαντος, οὔτε οἱ πεμφθέντες[14] ὑπὸ τοῦ βασιλέως ἄρχοντες ἐπὶ τὴν παραίτησιν, οὔτε ὁ κοινὸς ἀπὸ τῆς Ῥώμης φόβος ἴσχυσεν

σεν [15] ἐξελέσθαι [16] τῆς τιμωρίας τὸν ἄνθρωπον, καίπερ ἀκȣσίως τȣ̃το πεπραχότα [17].

1 πράσσω. 2 διατίθημι. 3 θεάομαι. 4 θνήσκω. 5 ἀφίστημι. 6 βοάω. 7 καταλαμβάνω. sie bezeugen, das Thier nicht selbst getödtet, sondern todt gefunden zu haben. 8 τελευτάω. 9 εντήκω. 10 διάκειμαι. Jeder hat eine so hartnäckige leidenschaftliche Neigung zu dieser Verehrung. 11 scil. ζώων. 12 δίδωμι. 13 συντρέχω. 14 πέμπω. 15 ἰσχύω. 16 ἐξαιρέω. 17 πράσσω.

4. Ἀπίστων Φαινομένων πολλοῖς τῶν εἰρημένων καὶ μύθοις παραπλησίων, πολλῷ παραδοξότερα φανήσεται [1] τὰ μετὰ ταῦτα ῥηθησόμενα [2]. Λιμῷ γὰρ ποτὲ πιεζομένων τῶν κατ᾽ Αἴγυπτον, φασὶ πολλȣ̀ς ἀλλήλων μὲν ἅψασθαι [3] διὰ τὴν ἔνδειαν. τῶν δ᾽ ἀφιερωμένων ζώων τὸ παράπαν μηδ᾽ αἰτίαν σχεῖν [4] μηδένα προσενηνέχθαι [5].

1 φαίνομαι. 2 ῥέω. 3 ἅπτομαι. 4 ἔχω. 5 προσφέρω.

5. Καθ᾽ ἣν ἂν οἰκίαν εὑρεθῇ [1] κύων τετελευτηκὼς, ξυρȣ̃νται [2] πάντες οἱ κατ᾽ οἶκον ὄντες ὅλον τὸ σῶμα, καὶ ποιȣ̃νται πένθος· καὶ τὸ τȣ́τȣ θαυμασιώτερον, ἐὰν οἶνος ἢ σῖτος ἤ τι τῶν πρὸς τὸν βίον ἀναγκαίων τυγχάνῃ κείμενον ἐν τοῖς οἰκήμασιν, ȣ̃ τὸ ζῆν [3] ἐξέλιπέ [4] τί τῶν θηρίων, ȣ̓κ ἂν ἔτι χρήσασθαι [5] πρὸς ȣ̓δὲν αὐτοῖς ὑπομείνειαν [6]. κἂν [7] ἐν ἄλλῃ χώρᾳ πȣ στρατευόμενοι τύχωσι [8], λυπȣ́μενοι τȣ̀ς αἰλȣ́ρȣς καὶ τȣ̀ς ἱέρακας ἀπάγȣσιν εἰς Αἴγυπτον. καὶ τȣ̃το πράττȣσι, ἐνίοτε τῶν ἐφοδίων αὐτȣ̀ς ἀπολιπόντων [9].

1 εὑρίσκω. 2 ξυράω. 3 ζάω. 4 ἐκλείπω. 5 χράομαι. 6 ὑπομένω. 7 zusammengezogen aus καί ἐάν. 8 τυγχάνω. 9 ἀπολείπω.

6. Ὅταν ὁ Ἆπις τελευτήσας ταφῇ[1] μεγαλοπρεπῶς, ζητοῦσιν οἱ περὶ ταῦτ᾽ ὄντες ἱερεῖς μόσχον, ἔχοντα κατὰ τὸ σῶμα παράσημα τὰ παραπλήσια τῷ προϋπάρξαντι[2]. ὅταν δ᾽ εὑρεθῇ[3], τὰ μὲν πλήθη τοῦ πένθους ἀπολύεται, τῶν δ᾽ ἱερέων[4], οἷς ἐστὶν ἐπιμελὲς[5], ἄγουσι τὸν μόσχον τὸ μὲν πρῶτον εἰς Νείλου πόλιν, ἐν ᾗ τρέφουσιν αὐτὸν ἐφ᾽ ἡμέρας τετταράκοντα. ἔπειτα εἰς ναῦν, οἴκημα κεχρυσωμένον[6] ἔχουσαν, ἐμβιβάσαντες[7], ὡς θεὸν ἀνάγουσιν εἰς Μέμφιν. ἐν δὲ ταῖς προειρημέναις[8] τετταράκονθ᾽ ἡμέραις μόνον ὁρῶσιν[9] αὐτὸν αἱ γυναῖκες[10]· τὸν δ᾽ ἄλλον χρόνον ἅπαντα κεκωλυμένον[11] ἐστὶν εἰς ὄψιν αὐτὰς ἔρχεσθαι τούτῳ τῷ θεῷ.

1 θάπτω. 2 προϋπάρχω. 3 εὑρίσκω. 4 scil. ἐκεῖνοι. 5 scil. τοῦτο. 6 χρυσόω. 7 ἐμβιβάζω. 8 προείρω. 9 ὁράω. 10 γυνή. 11 κωλύω.

Ein seltnes Beispiel der Freundschaft, ebenfalls aus dem Diodor.

Διονυσίου τυραννοῦντος Φιντίας τις Πυθαγόρειος ἐπιβεβουλευκὼς[1] τῷ τυράννῳ, μέλλων δὲ τῆς τιμωρίας τυγχάνειν, ᾐτήσατο[2] παρὰ τοῦ Διονυσίου χρόνον εἰς τὸ[3] περὶ τῶν ἰδίων πρότερον, ἃ βούλεται, διοικῆσαι[4]· δώσειν[5] δ᾽ ἔφησεν[6] ἐγγυητὴν τοῦ θανάτου τῶν φίλων ἕνα[7]· τοῦ δὲ δυνάστου θαυμάσαντος[8], εἰ τοιοῦτός ἐστι φίλος, ὃς ἑαυτὸν εἰς τὴν εἱρκτὴν ἀντ᾽ ἐκείνου παραδώσει[9], προεκαλέσατό[10] τινα τῶν γνωρίμων ὁ Φιντίας, Δάμωνα ὄνομα, Πυθαγόρειον φιλόσοφον, ὃς οὐδὲ διστάσας[11] ἔγγυος εὐθὺς ἐγενήθη θανάτου· τινὲς μὲν οὖν ἐπῄνουν[12] τὴν ὑπερβολὴν τῆς πρὸς τοὺς φίλους εὐνοίας, τινὲς δὲ τοῦ ἐγγύου προπέτειαν καὶ μανίαν κατεγίνωσκον. πρὸς δὲ

δὲ τὴν τεταγμένην [13] ὥραν ἅπας ὁ δῆμος συνέδραμεν [14] καραδοκῶν εἰ φυλάξει [15] τὴν πίστιν ὁ καταστήσας [16]. ἤδη δὲ τῆς ὥρας συγκλειούσης [17], πάντες μὲν ἀπεγίγνωσκον· ὁ δὲ Φιντίας ἀνελπίστως ἐπὶ τῆς ἐσχάτης τοῦ χρόνου ῥοπῆς δρομαῖος ἦλθε [18], τοῦ Δάμωνος ἀπαγομένου πρὸς τὴν ἀνάγκην θαυμα, στῆς δὲ τῆς φιλίας φανείσης [19] ἅπασιν, ἀπέλυσεν [20] ὁ Διονύσιος τῆς τιμωρίας τὸν ἐγκαλούμενον, καὶ παρεκάλεσε [21] τοὺς ἄνδρας, τρίτον ἑαυτὸν εἰς τὴν φιλίαν προσλαβέσθαι.

1 ἐπιβουλεύω. 2 αἰτέω. 3 εἰς τὸ hängt mit dem folgenden διοικῆσαι zusammen, um die Anstalten zu treffen. 4 διοικέω. 5 δίδωμι. 6 φημί. 7 εἰς. 8 θαυμάζω. 9 παραδίδωμι. 10 προκαλέω. 11 διστάζω. ohne sich zu bedenken. 12 ἐπαινέω. 13 τάσσω. 14 συντρέχω. 15 φυλάσσω. 16 scil. ἐγγυητὴν von καθίστημι. 17 da die Zeit fast verlaufen war. 18 ἔρχομαι. 19 φαίνω. 20 ἀπολύω. 21 παρακαλέω.

XII.

Die Sibyllinischen Bücher.

Aus dem Dionys von Halikarnas.

Γυνή τις ἀφίκετο [1] πρὸς τὸν τύραννον Ταρκύνιον [2], οὐκ ἐπιχωρία, βίβλους ἐννέα μεστὰς Σιβυλλείων χρησμῶν ἀπεμπολῆσαι [3] θέλουσα· οὐκ ἀξιοῦντος [4] δὲ τοῦ Ταρκυνίου τῆς αἰτηθείσης [5] τιμῆς [6] πρίασθαι [7] τὰς βίβλους, ἀπελθοῦσα [8] τρεῖς ἐξ αὐτῶν κατέκαυσε [9]· καὶ μετ᾽ οὐ πολὺν χρόνον τὰς λοιπὰς ἐνέγκασα [10], τῆς αὐτῆς ἐπώλει [11] τιμῆς.

 δόξασα

δόξασα [12] δὲ ἄφρων τὶς εἶναι, καὶ γελασθεῖσα [13] ἐπὶ τῷ τὴν αὐτὴν τιμὴν αἰτεῖν περὶ τῶν ἐλαττόνων, ἣν ἐδὲ περὶ τῶν πλειόνων ἠδυνήθη [14] λαβεῖν, ἀπελθεσα πάλιν τὰς ἡμισείας [15] τῶν ἀπολειπομένων κατέκαυσε, καὶ τὰς λοιπὰς τρεῖς ἐνέγκασα τὸ ἴσον ᾔτει [16] χρυσίον. θαυμάσας [17] δὲ τὸ βέλευμα τῆς γυναικὸς ὁ Ταρκύνιος, τὲς οἰωνοσκόπες μετεπέμψατο [18], καὶ διηγησάμενος [19] αὐτοῖς τὸ πρᾶγμα, τί χρὴ πράττειν, ἤρετο [20]· κἀκεῖνοι [21] ἐκέλευσαν ἀπαριθμεῖσθαι τῇ γυναικὶ τὸ χρυσίον, ὅσον ᾔτει, καὶ τὲς περιόντας [22] τῶν χρησμῶν λαβεῖν· ἡ μὲν ἒν γυνὴ τὰς βίβλες δεσα [23], καὶ φράσασα [24] τηρεῖν ἐπιμελῶς, ἐξ ἀνθρώπων ἠφανίσθη [25]. ὁ δὲ Ταρκύνιος τῶν ἀςῶν ἄνδρας ἐπιφανεῖς δύο προχειρισάμενος [26] καὶ δημοσίες αὐτοῖς δύο θεράποντας παραζεύξας [27], ἐκείνοις ἀπέδωκε [28] τὴν τῶν βιβλίων φυλακήν. μετὰ δὲ τὴν ἐκβολὴν τῶν βασιλέων ἡ πόλις ἀναλαβεσα τὴν τῶν χρησμῶν προςασίαν, ἄνδρας τὲς ἐπιφανεςάτες ἀποδείκνυσιν αὐτῶν φύλακας [29], οἳ διὰ βίε ταύτην ἔχεσι τὴν ἐπιμέλειαν, ςρατειῶν ἀφειμένοι [30] καὶ τῶν ἄλλων τῶν κατὰ τὴν πόλιν πραγματειῶν.

1 ἀφικνέομαι. 2 Tarquinius der Stolze, der letzte König von Rom. 3 ἀπεμπολέω. 4 ἀξιόω. 5 αἰτέω. 6 der Genitiv hängt von der bei allen Verben, die ein Kaufen oder etwas ähnliches bedeuten, häufig ausgelassenen Präposition ἀντὶ ab. 7 πρίαμαι. 8 ἀπέρχομαι. 9 κατακαίω. 10 φέρω. 11 πωλέω. (sie bot sie feil). 12 δοκέω. 13 γελάω. 14 δύναμαι. 15 ἥμισυς. 16 αἰτέω. 17 θαυμάζω. 18 μεταπέμπομαι. 19 διηγέομαι. 20 ἔρομαι. 21 καὶ ἐκεῖνοι. 22 περίειμι. 23 δίδωμι. 24 φράζω. 25 ἀφανίζω. 26 προχειρίζω. 27 παραζευγνύω. 28 ἀποδίδωμι. 29 φύλαξ. 30 ἀφίημι.

XIII.

Noch einige Anekdoten.

Aus dem Stobäus.

1. Der widrige Geruch.

Γέλων ὁ Σικελίας τύραννος σαπρόστομος ἦν. ὡς οὖν τῶν φίλων εἶπέν τις αὐτῷ, ὠργίζετο [1] τῇ γυναικὶ, ὅτι οὐκ ἐμήνυσεν [2] αὐτῷ. ἡ δὲ ἔφη· ᾤμην [3] γὰρ καὶ τῶν λοιπῶν ὁμοίως ὄζειν τὸ στόμα.

1 ὀργίζω. 2 μηνύω. 3 οἶμαι.

2. Die Spartanerin.

Γοργόνη Λακεδαιμονία Λεωνίδου γυνὴ, τοῦ υἱοῦ αὐτῆς ἐπὶ στρατείαν πορευομένου, τὴν ἀσπίδα ἐπιδιδοῦσα [1] εἶπεν, ἢ ταύταν [2], ἢ ἐπὶ ταύταν [3].

1 ἐπιδίδωμι. 2 scil. ἀσπίδα. 3 der Sinn ist: Entweder komm lebendig und rühmlich mit deinem Schilde zurük, oder, wenn du ja in der Schlacht bleiben solltest, so mußt du wenigstens deinen Schild nicht einbüßen, sondern auf ihm aus der Schlacht weggetragen werden. Verlust des Schildes war überhaupt bei den Alten sehr schimpflich.

3. Der Dieb.

Δημοσθένης πρὸς κλέπτην εἰπόντα, οὐκ ᾔδειν *, ὅτι σόν ἐστιν· ὅτι δὲ, ἔφη, σὸν οὐκ ἔστιν, ᾔδεις.

*εἰδέω.

4. Der bestrafte Verräther des Vaterlandes.

Περσῶν τὴν Ἑλλάδα [1] λεηλατȣ́ντων, καὶ πάντων τῶν ἐγχωρίων συγκεχυμένων [2], Παυσανίας ὁ τῶν Λακεδαιμονίων ϛρατηγὸς ἀπὸ Ξέρξȣ πεντακόσια τάλαντα χρυσίȣ λαβὼν, ἔμελλε προδιδόναι τὴν Σπάρτην. τῶν δὲ ἐπιϛολῶν μεσολαβηθεισῶν [3], Ἡγησίλαος ὁ πατὴρ τȣ̃ προειρημένȣ [4] περὶ τῶν συμβεβηκότων [5] ἀκȣ́σας, τὸν υἱὸν μέχρι τȣ̃ ναȣ̃ τῆς Ἀθηνᾶς [6] συνεδίωξεν [7], καὶ τὰς θύρας τȣ̃ τεμένȣς πλίνθοις ἐμφράξας [8], μετὰ τῆς γυναικὸς [9] τὴν εἴσοδον ἐφρȣ́ρησε [10], καὶ λιμῷ τὸν προδότην ἀνεῖλεν [11], ὃν ἡ μήτηρ ἀείρασα ὑπὲρ τȣ̀ς ὅρȣς ἔρριψεν [12].

1 Ἑλλάς. 2 συγχέω. 3 μεσολαβέω. 4 προείρω. 5 συμβαίνω. 6 Minerva. 7 συνδιώκω. 8 ἐμφράσσω. 9 γυνή. 10 φρȣρέω. 11 ἀναιρέω. 12 ῥίπτω.

5. Beschwerlichkeiten der Königswürde.

Ἀντίγονος πρός τινα μακαρίζȣσαν αὐτὸν γραῦν, Εἰ ᾔδεις [1], ἔφη, ὦ μῆτερ, ὅσων κακῶν μεϛόν ἐϛιτȣτὶ τὸ ῥάκος, δείξας [2] τὸ διάδημα, ȣ̓κ ἂν ἐπὶ κοπρίας κείμενον αὐτὸ ἐβάϛασας [3].

1 εἰδέω. 2 δείκνυμι. 3 βαϛάζω.

6. Der Astronom in der Grube.

Θαλῆν εἰς τὸν ȣ̓ρανὸν ὁρῶντα καὶ ἐμπεσόντα [2] εἰς τὸ βάραθρον, ἡ θεράπαινα δίκαια παθεῖν [3] ἔφη· ὃς, τὰ παρὰ ποσὶν [4] ἀγνοῶν, τὰ ἐν ȣ̓ρανῷ ἐσκόπει.

1 ὁράω. 2 ἐμπίπτω. 3 πάχω. 4 πȣ̃ς.

7. Das beste Mittel, um alt zu werden.

Γοργίας ἐρωτηθεὶς [1], ποίᾳ διαίτῃ χρώμενος [2] εἰς μακρὸν γῆρας ἦλθεν [3], Ὀυδὲν ὀυδέποτε ἔφη, πρὸς ἡδονὴν, ὄυτε φαγὼν, ὄυτε δράσας [4].

1 ἐρωτάω. 2 χράομαι. 3 ἔρχομαι. 4 δράω.

XIV.

Mythologische Erzählungen.

Aus dem Apollodor.

1. Die ältesten Götter, Cölus; — der Kinderfresser Saturn.

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου· γήμας [1] δὲ Γῆν ἐτέκνωσε [2] πρώτους τοὺς Ἑκατόγχειρας προσαγορευθέντας [3], Βριάρεων, Γύην, Κόττον. οἳ μεγέθει τε ἀνυπέρβλητοι, καὶ δυνάμει καθειστήκεσαν [4]· χεῖρας μὲν, ἀνὰ ἑκατὸν [5], κεφαλὰς δὲ, ἀνὰ πεντήκοντα ἔχοντες. Μετὰ τούτους δὲ, αὐτῷ τεκνοῖ [6] Γῆ Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχεν [7] ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. ἀλλὰ τούτους μὲν Οὐρανὸς δήσας [8], εἰς Τάρταρον ἔῤῥιψε [9]. τόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν ᾅδου [10], τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα, ὅσον ἀπ᾽ οὐρανοῦ γῆ. Τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας, Ὠκεανὸν, Κοῖον, Ὑπερίονα, Κρῖον, Ἰαπετὸν, καὶ νεώτατον [11] ἁπάντων, Κρόνον· θυγατέρας τε τὰς κληθείσας Τιτανίδας, Τηθὺν, Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην,

βην, Διώνην, Θείαν. Ἀγανακτȣ̃σα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ῥιφθέντων [12] παίδων, πείθει τȣ̀ς Τιτᾶνας ἐπιθέσθαι [13] τῷ πατρί. οἱ δὲ, Ὠκεανȣ̃ χωρὶς, ἐπιτίθενται. Τῆς δὲ ἀρχῆς ἐκβαλόντες [14], τȣ́ς τε καταταρταρωθέντας [15] ἀνήγαγον ἀδελφȣ̀ς· καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδωκαν [16]. Ὁ δὲ τȣ́τȣς μὲν τῷ ταρτάρῳ, πάλιν δήσας [17], καθείρξε [18]. Τὴν δὲ ἀδελφὴν Ῥέαν γήμας (ἐπειδὴ Γῆ τε, καὶ Οὐρανὸς ἐθεσπιῶδȣν αὐτῷ, λέγοντες ὑπὸ παιδὸς ἰδίȣ τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι [19]) κατέπινε τὰ γεννώμενα [20], καὶ πρώτην μέν γεννηθεῖσαν [21] Ἑςίαν κατέπιεν [22]. εἶτα Δήμητραν, καὶ Ἥραν· μεθ' ἃς Πλȣ́τωνα καὶ Ποσειδῶνα. Ὀργισθεῖσα [23] δὲ ἐπὶ τȣ́τοις Ῥέα, παραγίνεται μὲν εἰς Κρήτην, γεννᾶ δὲ ἐν ἄντρῳ Δία [24]. καὶ τȣ̃τον μὲν δίδωσι τρέφεσθαι Κȣ́ρησί τε καὶ ταῖς Μελισσέως παισὶ Νύμφαις, Ἀδρασείᾳ τε καὶ Ἴδῃ. Αὗται μεν ȣ̃ν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι· οἱ δὲ Κȣ́ρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες, τοῖς δόρασι [25] τὰς ἀσπίδας συνέκρȣον, ἵνα μὴ τῆς τȣ̃ παιδὸς φωνῆς ὁ Κρόνος ἀκȣ́σῃ. Ῥέα δὲ λίθον σπαργανώσασα, δέδωκε [26] Κρόνῳ καταπιεῖν, ὡς τὸν γεγεννημένον [27] παῖδα.

1 γαμέω. 2 τεκνόω. 3 προσαγορεύω. 4 καθίςημι. 5 jeder hatte hundert Hände 6 τεκνόω. 7 ἔχω. 8 δέω. 9 ῥίπτω. 10 scil. τόπῳ. 11 νέος. 12 ῥίπτω. 13 ἐπιτίθημι. 14 scil Οὐρανόν. 15 καταταρταρόω. 16 παραδίδωμι. 17 δέω. 18 καθείργω. 19 ἀφαιρέω. 20 γεννάω. 21 ebenfalls von γεννάω. 22 καταπίνω. 23 ὀργίζω. 24 Ζεύς. 25 δόρυ. 26 δίδωμι. 27 γεννάω.

2. Jupiter, Neptun, Pluto.

Ἐπειδὴ δὲ Ζεὺς ἐγενήθη τέλειος, λαμβάνει Μῆτιν, τὴν Ὠκεανοῦ [1], σύνεργον· ἣ δίδωσι Κρόνῳ καταπιεῖν [2] φάρμακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς [3], πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον, ἔπειτα τοὺς παῖδας, οὓς κατέπιε· μεθ' ὧν Ζεὺς τὸν πρὸς Κρόνον καὶ Τιτᾶνας ἐσήνεγκε [4] πόλεμον. μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ τῷ Διὶ ἔχρησε [5] τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους. ὁ δὲ ἔλυσε. καὶ Κύκλωπες τότε Διὶ μὲν διδόασι [6] βροντὴν καὶ κεραυνὸν· Πλούτωνι δὲ κυνέην [7]· Ποσειδῶνι δὲ τρίαιναν. Οἱ δὲ, τούτοις ὁπλισθέντες [4] κρατοῦσι Τιτάνων, καὶ καθείρξαντες [9] αὐτοὺς ἐν τῷ Ταρτάρῳ, τοὺς Ἑκατόγχειρας κατέστησαν [10] φύλακας· αὐτοὶ δὲ διακληροῦνται περὶ τῆς ἀρχῆς. καὶ λαγχάνει Ζεὺς μὲν, τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ, τὴν ἐν ᾅδῃ.

1 scil. θυγατέρα. 2 καταπίνω. 3 ἀναγκάζω. 4 εἰσφέρω. 5 χράω. 6 δίδωμι. 7 dieser Helm hatte die Eigenschaft, den, der ihn trug, unsichtbar zu machen. 8 ὁπλίζω. 9 καθείργω. 10 καθίστημι.

3. Jupiters Kinder.

Ζεὺς δὲ γαμεῖ μὲν Ἥραν, καὶ τεκνοῖ Ἥβην, Εἰλείθυιαν, Ἄρην· ἐκ δὲ Θέμιρος τῆς Οὐδανοῦ * γεννᾷ θυγατέρας Ὥρας, Εἰρήνην, Εὐνομίαν, Δίκην· Μοίρας, Κλωθὼ, Λάχεσιν, Ἄτροπον· ἐκ Διώνης δὲ, Ἀφροδίτην· ἐξ Εὐρυνόμης δὲ τῆς Ὠκεανοῦ Χάριτας, Ἀγλαΐην, Εὐφροσύνην, Θάλειαν. ἐκ δὲ Μνημοσύνης, Μούσας, πρώτην μὲν Καλλιόπην, εἶτα Κλειὼ,

Μελ-

Μελπομένην, Εὐτέρπην, Ἐρατώ, Τερψιχόρην, Οὐρανίαν, Θάλειαν, Πολυμνίαν.

* scil. θυγατρός.

4. Orpheus und Eurydice.

Καλλιόπης καὶ Οἰάγρου, κατ' ἐπίκλησιν [1] δὲ Ἀπόλλωνος, Ὀρφεὺς, ὁ ἀσκήσας [2] κιθαρῳδίαν. ὃς ᾄδων ἐκίνει [3] λίθους τε καὶ δένδρα. ἀποθανούσης [4] δὲ Εὐρυδίκης τῆς γυναικὸς αὐτοῦ, δηχθείσης [5] ὑπὸ ὄφεως, κατῆλθεν [6] εἰς ᾅδου [7], θέλων ἀγαγεῖν [8] αὐτήν. καὶ Πλούτωνα ἔπεισεν [9] ἀναπέμψαι [10]. ὁ δὲ ὑπέσχετο [11] τοῦτο ποιήσειν, ἂν μὴ πορευόμενος Ὀρφεὺς ἐπιστραφῇ [12], πρὶν εἰς τὴν οἰκίαν αὐτοῦ παραγενέσθαι. ὁ δὲ ἀπιστῶν, ἐπιστραφεὶς [13] ἐθεάσατο [14] τὴν γυναῖκα· ἡ δὲ πάλιν ὑπέστρεψεν. εὗρε δὲ Ὀρφεὺς καὶ τὰ Διονύσου μυστήρια, καὶ τέθαπται [15] περὶ τὴν Πιερίαν, διασπασθεὶς [16] ὑπὸ τῶν Μαινάδων.

1 Nach seinem gewöhnlichen Beinamen. 2 ἀσκέω. 3 κινέω. 4 ἀποθνήσκω. 5 δάκνω. 6 κατέρχομαι. 7 εἰς ᾅδου scil. τόπον oder οἶκον. 9 πείθω. 10 ἀναπέμπω. 11 ὑπισχνέομαι. 12 ἐπιστρέφω. 13 ebenfals von ἐπιστρέφω. 14 θεάομαι. 15 θάπτω. 16 διασπάω.

5. Latona Diana. Apollo.

Λητὼ κατὰ τὴν γῆν ἅπασαν ὑφ' Ἥρας ἠλαύνετο [1], μέχρις εἰς Δῆλον ἐλθοῦσα γεννᾷ πρώτην Ἄρτεμιν· ὕστερον Ἀπόλλωνα ἐγέννησεν. Ἄρτεμις μὲν οὖν, τὰ περὶ θήραν ἀσκήσασα [2], παρθένος ἔμεινεν· Ἀπόλλων δὲ, τὴν μαντικὴν μαθὼν [3] παρὰ τοῦ Πα-

νῦς, ἧκεν εἰς Δέλφυς, χρησμῳδύσης τότε Θέμιδος. ὡς δὲ ὁ φρυρῶν τὸ μαντεῖον Πύθων ὄφις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ το χάσμα, τῦτον ἀνελὼν [4] τὸ μαντεῖον παραλαμβάνει.

1 ἐλαύνω. 2 ἀσκέω. 3 μανθάνω. 4 ἀναιρέω.

6. Der geschundene Marsyas.

Ἀπέκτεινε δὲ Ἀπόλλων καὶ τὸν Μαρσύαν. ὗτος γὰρ, εὑρὼν [1] αὐλὺς, ὓς ἔρριψεν [2] Ἀθηνᾶ, διὰ τὸ τὴν ὄψιν αὐτῆς ποιεῖν ἄμορφον, ἦλθεν [3] εἰς ἔριν περὶ μυσικῆς Ἀπόλλωνι. συνθεμένων [4] δὲ αὐτῶν, ἵνα ὁ νικήσας [5] ὃ βύλεται διαθῇ [6] τὸν ἡττημένον [7], τῆς κρίσεως γενομένης τὴν κιθάραν ςρέψας [8] ἠγωνίζετο [9] ὁ Ἀπόλλων, καὶ ταυτὸ [10] ποιεῖν ἐκέλευσε τὸν Μαρσύαν. τῦ δὲ αδυνατῦντος, εὑρεθεὶς [11] κρείσσων ὁ Ἀπόλλων, κρεμάσας [12] τὸν Μαρσύαν ἔκ τινος ὑπερτενῦς πίτυος, ἐκτεμὼν [13] τὸ δέρμα, ὕτως διέφθειρεν [14].

1 εὑρίσκω. 2 ῥίπτω. 3 ἔρχομαι. 4 συντίθημι. 5 νικάω. 6 διατίθημι. 7 ἡττάομαι. 8 ςρέφω. 9 ἀγωνίζομαι. 10 statt τὸ αὐτό. Er sollte nehmlich ebenfalls mit umgekehrtem Instrument spielen. 11 εὑρίσκω. 12 κρεμάω. 13 εκτεμνω. 14 διαφθείρω.

7. Prometheus.

Προμηθεὺς ἐξ ὕδατος καὶ γῆς ἀνθρώπυς πλάσας [1], ἔδωκεν [2] αὐτοῖς καὶ πῦρ λάθρα Διὸς, ἐν νάρθηκι κρύψας [3]. ὡς δὲ ᾔσθετο [4] Ζεὺς, ἐπέταξεν [5] Ἡφαίςῳ, τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτῦ προσηλῶσαι [6]· τῦτο δὲ Σκυθικὸν ὄρος ἐςίν. ἐν δὲ τύτῳ προσηλωθεὶς Προμηθεὺς, πολλῶν ἐτῶν ἀριθμὸν ἐδέδετο [7]. καθ᾽ ἑκάςην δὲ ἡμέραν ἀετὸς

Bayerische Staatsbibliothek MÜNCHEN

ἐφιπτάμενος, αὐτοῦ λοβὸς ἐνέμετο τῶν ἡπάτων, αὐξανομένων διὰ νυκτός. καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος [8] δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν [9].

1 πλάσσω. 2 δίδωμι. 3 κρύπτω. 4 αἰσθάνομαι. 5 ἐπιτάσσω. 6 προσηλόω. 7 δέω. 8 κλέπτω. 9 λύω.

8. Deukalion.

Προμηθέως παῖς Δευκαλίων ἐγένετο. οὗτος βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων, γαμεῖ Πύῤῥαν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν [1] θεοὶ πρώτην γυναῖκα. ἐπεὶ δὲ ἀφανίσαι [2] Ζεὺς τὸ χαλκοῦν γένος ἠθέλησεν [3], ὑποθεμένου [4] Προμηθέως Δευκαλίων τεκτηνάμενος [5] λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύῤῥας ἀνέβη [6]. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας [7], τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν [8]· ὥστε διαφθαρῆναι [9] πάντας ἀνθρώπους, ὀλίγων χωρὶς, οἳ συνέφυγον [10] εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος, ἐφ' ἡμέρας ἐννέα, καὶ νύκτας ἴσας, τῷ Παρνασσῷ προσίσχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων, ἐκβὰς [11] ἔθυσε [12] Διὶ [13]. Ζεὺς δὲ, πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι ὅ, τι βούλεται. ὁ δὲ αἰτεῖται, ἀνθρώπους αὐτῷ γενέσθαι· καὶ Διὸς εἰπόντος, ὑπὲρ κεφαλὴν αἴρων ἔβαλλε τοὺς λίθους· καὶ οὓς μὲν ἔβαλλε Δευκαλίων, ἄνδρες ἐγένοντο· οὓς δὲ Πύῤῥα, γυναῖκες.

1 πλάσσω. 2 ἀφανίζω. 3 ἐθέλω. 4 ὑποτίθημι. 5 τεκταίνω. 6 ἀναβαίνω. 7 χέω. 8 κατακλύζω. 9 διαφθείρω. 10 συμφεύγω. 11 ἐκβαίνω. 12 θύω. 13 Ζεύς.

9. Atha=

9. Athamas, Ino, Phrixus.

Ἀθάμας δυναστεύων Βοιωτίας ἐκ Νεφέλης τεκνοῖ [1] μὲν παῖδα Φρίξον, θυγατέρα δὲ Ἕλλην· αὖθις δὲ Ἰνὼ γαμεῖ· ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης ἐγένοντο. ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νεφέλης τέκνοις, ἔπειτε [2] τὰς γυναῖκας τὸν πυρὸν φρύγειν· λαμβάνουσαι δὲ κρύφα τῶν ἀνδρῶν, τοῦτο ἔπρασσον. Γῆ δὲ, πεφρυγμένους [3] πυροὺς δεχομένη, καρποὺς ἐτησίους οὐκ ἀνεδίδου [4]· διὸ πέμπων ὁ Ἀθάμας εἰς Δελφοὺς, ἀπαλλαγὴν ἐπυνθάνετο ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμφθέντας [5] ἀνέπεισε [6] λέγειν, ὡς εἴη [7] κεχρησμένον [8], παύσασθαι [9] τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ [10] Διὶ ὁ Φρίξος. τοῦτο ἀκούσας Ἀθάμας, συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοικούντων, τῷ βωμῷ παρέστησε [11] Φρίξον. Νεφέλη δὲ μετὰ τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε [12]· καὶ παρὰ Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν [13]. ἐφ' οὗ φερόμενοι δι' οὐρανοῦ, τὴν μεταξὺ γῆν ὑπερέβησαν [15], καὶ θάλασσαν. ὡς δὲ ἐγένοντο κατὰ τὴν μεταξὺ [14] κειμένην θάλασσαν Σιγείου καὶ Χερρονήσου, ὤλισθεν [16] εἰς τὸν βυθὸν ἡ Ἕλλη· κἀκεῖ [17] θανούσης [18] αὐτῆς, ἀπ' ἐκείνης Ἑλλήσποντος ἐκλήθη [19] τὸ πέλαγος· Φρίξος δὲ ἦλθεν [20] εἰς Κόλχους, ὧν Αἰήτης ἐβασίλευε. οὗτος αὐτὸν ὑποδέχεται, καὶ μίαν τῶν θυγατέρων Χαλκιόπην δίδωσιν. ὁ δὲ τὸν χρυσόμαλλον κριὸν Διὶ θύει Φυξίῳ· τὸ δε τούτου δέρας Αἰήτῃ δίδωσιν· ἐκεῖνος δὲ αὐτὸ περὶ δρῦν ἐν Ἄρεος ἄλσει καθήλωσεν. Ἀθάμας δέ ὕστερον διὰ μῆνιν Ἥρας, καὶ τῶν ἐξ Ἰνοῦς ἐστερήθη [21] παίδων, αὐτὸς μὲν γὰρ μανεὶς [22], ἐτόξευσε [23] Λέαρχον, Ἰνὼ δὲ Μελικέρτην μεθ' ἑαυτῆς εἰς πέλαγος ἔρριψεν [24].

1 τεκνόω. 2 πείθω. 3 φεύγω. 4 ἀναδίδωμι. 5 πέμπω. 6 ἀναπείθω. 7 εἰμὶ. 8 χράω. 9 παύομαι. 10 σφάττω. 11 παρίστημι. 12 ἀναρπάζω. 13 scil. αὐτοῖς. 14 ὑπερβαίνω. 15 die zwischen dem Vorgebürge Sigeum (in Asien) und dem thrakischen Chersones (in Europa) liegende Meerenge. 16 ὀλισθαίνω. 17 καὶ ἐκεῖ. 18 θνήσκω. 19 καλέω. 20 ἔρχομαι. 21 στερέω. 22 μαίνομαι. 23 τοξεύω. 24 ῥίπτω.

10. Sisyphus.

Κολάζεται Σίσυφος ἐν ᾅδου πέτρον ταῖς χερσὶ καὶ τῇ κεφαλῇ κυλίων, καὶ τοῦτον ὑπερβάλλειν θέλων· οὗτος δὲ ὠθούμενος ὑπ᾽ αὐτοῦ, ὠθεῖται πάλιν εἰς τοὐπίσω [1]. τίνει δὲ ταύτην τὴν δίκην, διὰ τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν. ἁρπάσαντα [2] γὰρ αὐτὴν κρύφα Δία, Ἀσωπῷ μηνύσαι [3] ζητοῦντι [4] λέγεται.

1 statt τὸ ὀπίσω. 2 ἁρπάζω. 3 μηνύω. 4 scil. τὴν θυγατέρα.

11. Admet und Alceste.

Ἀδμήτου βασιλεύοντος τῶν Φερῶν ἐθήτευσεν [1] Ἀπόλλων αὐτῷ μνηστευομένῳ τὴν Πελίου θυγατέρα Ἄλκηστιν. ἐκείνῳ δὲ δώσειν [2] ἐπαγγειλαμένου [3] Πελίου τὴν θυγατέρα, τῷ καταζεύξαντι [4] ἅρμα λεόντων καὶ κάπρων, Ἀπόλλων ζεύξας ἔδωκεν· ὁ δὲ κομίσας [5] πρὸς Πελίαν, Ἄλκηστιν λαμβάνει. Ἀπόλλων δὲ ᾐτήσατο [6] παρὰ Μοιρῶν, ἵνα, ὅταν Ἄδμητος μέλλει τελευτᾷν, ἀπολυθῇ [7] τοῦ θανάτου, ἂν ἑκουσίως τὶς ὑπὲρ αὐτοῦ θνήσκειν ἕληται [7], πατὴρ, ἢ μήτηρ, ἢ γυνή. ὡς δὲ ἦλθεν [8] ἡ τοῦ θνήσκειν ἡμέρα,

ρα, μήτε τȣ͂ πατρὸς, μήτε τῆς μητρὸς ὑπὲρ αὐτȣ͂ θνήσκειν θελόντων, Ἄλκησις ὑπὲρ αὐτȣ͂ ἀπέθανε· καὶ αὐτὴν πάλιν ἀνέπεμψεν ἡ Κόρη [10]· ὡς δὲ ἔνιοι λέγȣσιν, Ἡρακλῆς [11] μαχεσάμενος [12] Ἄδῃ.

1 θητεύω. 2 δίδωμι. 3 ἐπαγγέλλομαι. 4 καταζευγνύω. 5 κομίζω. 6 αἰτέω. 7 ἀπολύω. 8 αἱρέω. 9 ἔρχομαι. 10 Proserpina. 11 scil. αὐτὴν ἀνέπεμψε. 12 μάχομαι.

12. Argonautenzug.

Ἰάσων ᾤκει [1] ἐν Ἰωλκῷ. τῆς δὲ Ἰωλκȣ͂ Πελίας ἐβασίλευσε, ᾧ χρωμένῳ [2] περὶ τῆς βασιλείας ἐθέσπισεν [3] ὁ θεὸς, τὸν μονοσάνδαλον φυλάξασθαι [4]. τὸ μὲν ȣ͂ν πρῶτον ἠγνόει [5] τὸν χρησμόν· αὖθις δὲ ὕστερον αὐτὸν ἔγνω [6]. τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίας, ἄλλȣς τὲ πολλȣ̀ς ἐπὶ ταύτῃ, καὶ τὸν Ἰάσονα μετεπέμψατο [7]. ὁ δὲ πόθῳ γεωργίας ἐν τοῖς χωρίοις διατελῶν, ἔσπευσε [8] ἐπὶ τὴν θυσίαν. διαβαίνων δὲ ποταμὸν Ἄναυρον, ἐξῆλθε [9] μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας [10] ἐν τῷ ῥείθρῳ πέδιλον. θεασάμενος [11] δὲ Πελίας αὐτὸν, καὶ τὸν χρησμὸν συμβαλὼν [12], ἠρώτα [13] προσελθὼν, τί ἂν ἐποίησεν [14] ἐξȣσίαν ἔχων, εἰ λόγιον ἦν [15] αὐτῷ, πρός τινος φονευθήσεσθαι [16] τῶν πολιτῶν. ὁ δὲ, τὸ χρυσόμαλλον δέρας, ἔφη, προσέταττον ἂν [17] φέρειν αὐτῷ. τȣ͂το Πελίας ἀκȣ́σας, εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν. τȣ͂το δὲ ἐν Κόλχοις ἦν ἐν Ἄρεος ἄλσει κρεμάμενον [18] ἐκ δρυὸς. ἐφρȣρεῖτο δὲ ὑπὸ δράκοντος αὐ̈πνȣ. ἐπὶ τȣ͂το πεμπόμενος Ἰάσων, Ἄργον παρεκάλεσε τὸν Φρίξȣ [19]· κἀκεῖνος, Ἀθηνᾶς ὑποθεμέ-

θεμένης[20], πεντηκόντορον ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν[21] ἀπὸ τοῦ κατασκευάσαντος[22] Ἀργώ. ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, χρωμένῳ[23] ὁ θεὸς πλεῖν ἐπέτρεψε, συναθροίσαντι[24] τοὺς ἀρίστους τῆς Ἑλλάδος.

1 οἰκέω. 2 χράομαι (das Orakel fragen). 3 θεσπίζω. 4 φυλάσσω. 5 ἀγνοέω. 6 γινώσκω. 7 μεταπέμπομαι. 8 σπεύδω. 9 ἐξέρχομαι. 10 ἀπόλλυμι. 11 θεάομαι. 12 συμβάλλω. 13 scil. τὸν Ἰάσονα. 14 ποιέω (was er thun würde). 15 εἰμί. 16 φονεύω. 17 ich würde ihm auftragen. 18 κρέμαμαι. 19 scil. υἱόν. 20 ὑποτίθημι. 21 προσαγορεύω. 22 κατασκευάζω. 23 χράομαι (da er das Orakel befragte). 24 συναθροίζω.

13. Ankunft der Argonauten in Kolchis; Eroberung des goldnen Vließes durch Hülfe der Medea.

Οἱ δὲ Ἀργοναῦται παραπλεύσαντες[1] Θερμώδοντα, καὶ Καύκασον, ἐπὶ Φᾶσιν ποταμὸν ἦλθον[2]. οὗτος τῆς Κολχικῆς ἐστὶ γῆς. Καθορμισθείσης[3] δὲ τῆς νηὸς, ἧκε πρὸς Αἰήτην Ἰάσων καὶ τὰ ἐπιταγέντα[4] ὑπὸ Πελίου λέγων, παρεκάλει δοῦναι[5] τὸ δέρας αὐτῷ· ὁ δὲ δώσειν[6] ὑπέσχετο[7], ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ[8]. ἦσαν[9] δὲ ἄγριοι παρ᾽ αὐτῷ ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἳ χαλκοῦς μὲν εἶχον[10] πόδας[11], πῦρ δὲ ἐκ στομάτων ἐφύσων[12]. τούτους αὐτῷ ζεύξαντι[13] ἐπετάσσετο σπείρειν δράκοντος ὀδόντας. ἀποροῦντος δὲ τοῦ Ἰάσονος, πῶς ἂν δύναιτο[14] τοὺς ταύρους καταζεῦξαι, Μήδεια αὐτοῦ ἔρωτα ἔχεν· ἦν δὲ αὐτὴ θυγάτηρ Αἰήτου, φαρμακίς. δεδοικυῖα[15] δὲ, μὴ πρὸς τῶν ταύρων διαφθαρῇ[16], κρύφα τοῦ πατρὸς συνεργήσειν[17] αὐτῷ πρὸς

τὴν

τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο [18], καὶ τὸ δέρας ἐγχειριεῖν [19], ἐὰν ὀμόσῃ [20] αὐτὴν ἕξειν [21] γυναῖκα, καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται [22]. ὀμόσαντος δὲ Ἰάσονος, φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους, ἐκέλευσε χρῖσαι [23] τήν τε ἀσπίδα, καὶ τὸ δόρυ, καὶ τὸ σῶμα. τούτῳ γὰρ χρισθέντα [24] ἔφη πρὸς μίαν ἡμέραν μήτε ἂν ὑπὸ πυρὸς ἀδικηθήσεσθαι [25], μήτε ὑπὸ σιδήρου. ἐδήλωσε [26] δὲ αὐτῷ, σπειρομένων τῶν ὀδόντων, ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους [27], οὓς, ἔλεγεν, ἐπειδὰν ἀθρόους θεάσηται [28], βάλλῃ εἰς μέσον λίθους ἄποθεν· ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς. Ἰάσων δὲ τοῦτο ἀκούσας, καὶ χρισάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος, ἐμάστευε τοὺς ταύρους· καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας [29] αὐτοὺς κατέζευξε. σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας, ἀνέτελλον [30] ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι. ὁ δὲ, ὅπου πλείονας ἑώρα [31], βάλλων ἀφανῶς λίθους πρὸς αὐτοὺς, μαχομένους πρὸς ἀλλήλους, προσιὼν ἀνῄρει [32]. καὶ καταζευγνυμένων τῶν ταύρων, οὐκ ἐδίδου [33] τὸ δέρας Αἰήτης· ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι [34], καὶ κτεῖναι τοὺς ἐμπλέοντας. Φθάσασα [35] δὲ Μήδεια, τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε [36]· καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα [37] τοῖς φαρμάκοις, μετὰ Ἰάσονος, ἔχουσα τὸ δέρας, ἐπὶ τὴν Ἀργὼ παρεγένετο. συνείπετο [38] δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν [39]. Αἰήτης δὲ ἐπιγνοὺς [40] τὰ τῇ Μηδείᾳ τετολμημένα [41], ὥρμησε τὴν ναῦν διώκειν. ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα Μήδεια, τὸν ἀδελφὸν φονεύει· καὶ μελίσασα [42], κατὰ βυθοῦ ῥίπτει. συναθροίζων δὲ Αἰήτης τὰ τοῦ παιδὸς μέλη,

τῆς διώξεως ὑστέρησε [43]. διόπερ ὑποστρέψας [44], καὶ τὰ σωθέντα [45] τοῦ παιδὸς μέλη θάψας [46], τὸν τόπον προσηγόρευσε [47] Τόμους [48].

1 παραπλέω. 2 ἔρχομαι. 3 καθορμίζω. 4 ἐπιτάσσω. 5 δίδωμι. 6 ebenfalls von δίδωμι. 7 ὑπισχνέομαι. 8 καταζευγνύω. 9 εἰμί. 10 ἔχω. 11 πᾶς. 12 φυσάω. 13 ζευγνύω. 14 δύναμαι. 15 δείδω. 16 διαφθείρω. 17 συνεργέω. 18 ἐπαγγέλλομαι. 19 ἐγχειρίζω. 20 ὀμνύω. 21 ἔχω. 22 ἄγω. 23 χρίω. 24 ebenfalls von χρίω. 25 ἀδικέω. 26 δηλόω. 27 καθοπλίζω. 28 θεάομαι. 29 ὁρμάω. 30 ἀνατέλλω. 31 δράω. 32 ἀναιρέω. 33 δίδωμι. 34 καταφλέγω. 35 φθάνω. 36 ἄγω. 37 κατακοιμίζω. 38 συνέπομαι. 39 ἀνάγω. 40 ἐπιγινώσκω. 41 τολμάω. 42 μελίζω. 43 ὑστερέω. 44 ὑποστρέφω. 45 σώζω. 46 θάπτω. 47 προσαγορεύω. 48 von τέμνω. zerschneiden, zerstükken, weil Medea hier ihren Bruder zerstükt hatte.

14. Perseus und Andromeda.

Ὁ Περσεὺς παραγενόμενος εἰς Αἰθιοπίαν, ἧς ἐβασίλευε Κηφεὺς, εὗρε [1] τὴν τούτου θυγατέρα Ἀνδρομέδαν παρακειμένην [2] βορὰν θαλασσίῳ κήτει. Κασσιόπεια γὰρ ἡ Κηφέως γυνὴ, Νηρηΐσιν ἤριζε [3] περὶ κάλλους, καὶ πασῶν εἶναι κρείσσων ηὔχησεν [4]. ὅθεν αἱ Νηρηΐδες ἐμήνισαν [5]. καὶ Ποσειδῶν αὐταῖς συνοργισθεὶς [6] πλημμύραν τε ἐπὶ τὴν χώραν ἔπεμψε [7], καὶ κῆτος. Ἄμμωνος [8] δὲ χρήσαντος [9] τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ἡ Κασσιοπείας θυγάτηρ Ἀνδρομέδα προτεθῇ [10] τῷ κήτει βορὰ· τοῦτο ἀναγκασθεὶς [11] ὁ Κηφεὺς ὑπὸ τῶν Αἰθιόπων ἔπραξε [12], καὶ προσέδησε [13] τὴν θυγατέρα πέτρᾳ. ταύτην θεασάμενος ὁ Περσεὺς,

καὶ

καὶ ἐρασθεὶς [14], ἀναιρήσειν ὑπέσχετο [15] Κηφεῖ τὸ κῆτος, εἰ μέλλει σωθεῖσαν [16] αὐτὴν αὐτῷ δώσειν [17] γυναῖκα. ἐπὶ τούτοις γενομένων ὅρκων, ὑποστὰς [18] το κῆτος ἔκτεινε, καὶ τὴν Ἀνδρομέδαν ἔλυσεν. ἐπιβουλεύοντος δὲ αὐτῷ Φινέως, ὃς ἦν ἀδελφὸς τοῦ Κηφέως, ἐγγυώμενος [19] πρῶτος τὴν Ἀνδρομέδαν, μαθὼν [20] τὴν ἐπιβουλὴν, τὴν Γοργόνα [21] δείξας [22], μετὰ τῶν συνεπιβουλευόντων αὐτὸν ἐλίθωσε [23] παραχρῆμα.

1 εὑρίσκω. 2 παράκειμαι. 3 ἐρίζω. 4 αὐχέω. 5 μηνίω. 6 συνοργίζομαι. 7 πέμπω. 8 Jupiter Ammon. 9 χράω. 10 προτίθημι. 11 ἀναγκάζω. 12 πράσσω. 13 προσδέω. 14 ἔραμαι. 15 ὑπισχνέομαι. 16 σώζω. 17 δίδωμι. 18 ὑφίσημι. 19 ἐγγυάω (der erste Bräutigam der Andromeda). 20 μανθάνω. 21 den Kopf der von ihm getödteten Gorgo oder Medusa. 22 δείκνυμι. 23 λιθόω.

15. Herkules Kampf mit dem nemäischen Löwen.

Ὁ Ἡρακλῆς, τὸ προσταττόμενον ὑπὸ Εὐρυσθέως ἐτέλει. πρῶτον μὲν οὖν ἐπέταξεν [1] αὐτῷ τοῦ Νεμεαίου λέοντος τὴν δορὰν κομίζειν. τοῦτο δὲ ζῶον ἦν ἄτρωτον. εἰς δὲ τὴν Νεμέαν ἀφικόμενος [2], καὶ τὸν λέοντα μαστεύσας [3] ἐτόξευσε πρῶτον. ὡς δὲ ἔμαθεν [4] ἄτρωτον ὄντα [5], ἀνατεινάμενος [6] τὸ ῥόπαλον, ἐδίωκε· συμφυγόντος δὲ εἰς ἀμφίστομον σπήλαιον, αὐτοῦ τὴν ἑτέραν ἀπῳκοδόμησεν [7] εἴσοδον· διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ καὶ περιθεὶς [8] τὴν χεῖρα τῷ τραχήλῳ, κατέσχεν [9] ἄγχων, ἕως ἔπνιξε [10]· καὶ θέμενος [11] ἐπὶ τῶν ὤμων, ἐκόμιζεν εἰς Μυκήνας [12]. Εὐρυσθεὺς δὲ καταλαβὼν [13] αὐτοῦ τὴν ἀνδρίαν, ἀπείπατο [14] λοιπὸν αὐτῷ εἰς τὴν πόλιν εἰσιέναι [15].

 1 scil.

1 scil. Εὐρυσθεύς. von ἐπιτάσσω. 2 ἀφικνέομαι. 3 μαστεύω. 4 μανθάνω. 5 εἰμί. 6 ἀνατείνω. 7 ἀποικοδομέω. 8 περιτίθημι. 9 κατέχω. 10 πνίγω. 11 τίθημι. 12 zu Mykenä residirte Eurystheus. 13 καταλαμβάνω. 14 ἀπειπεῖν. 15 εἴσειμι.

16. Lernäische Schlange.

Δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ, τὴν Λερναίαν Ὕδραν κτεῖναι. αὕτη δὲ ἐν τῷ τῆς Λέρνης ἕλει ἐκτραφεῖσα [1], ἐξέβαινεν εἰς τὸ πεδίον, καὶ τά τε βοσκήματα, καὶ τὴν χώραν διέφθειρεν. εἶχε [2] δὲ ἡ Ὕδρα ὑπερμέγεθες σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητὰς, τὴν δὲ μέσην, ἀθάνατον. ἐπιβὰς [3] οὖν ἅρματος, ἡνιοχοῦντος Ἰολάου, παρεγένετο εἰς τὴν Λέρνην· καὶ τοὺς μὲν ἵππους ἔστησε [4]. τὴν δὲ Ὕδραν εὑρὼν ἔν τινι λόφῳ, ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε, βαλὼν βέλεσι πεπυρωμένοις [5], ἠνάγκασεν [6] ἐξελθεῖν. ἐκβαίνουσαν δὲ αὐτὴν κρατήσας κατεῖχεν [7]· ἡ δὲ θατέρῳ τῶν ποδῶν ἐνείχετο [8] περιπλακεῖσα [9]· τῷ ῥοπάλῳ δὲ τὰς κεφαλὰς κόπτων, οὐδὲν ἀνύειν ἐδύνατο· μιᾶς γὰρ κοπτομένης κεφαλῆς, δύο ἀνεφύοντο [10]. ἐπεβοήθει [11] δὲ καρκῖνος τῇ Ὕδρᾳ ὑπερμεγέθης, δάκνων τὸν πόδα. διὸ τοῦτον ἀποκτείνας, ἐπεκαλέσατο [12] καὶ αὐτὸς βοηθὸν, τὸν Ἰόλαον, ὃς μέρος τι καταπρήσας [13] τῆς ἐγγὺς ὕλης, τοῖς δαλοῖς ἐπικαίων τὰς ἀνατολὰς τῶν ἀναφυομένων κεφαλῶν, ἐκώλυεν ἀνιέναι [14]. κατὰ τοῦτον τὸν τρόπον τῶν ἀναφυομένων κεφαλῶν περιγενόμενος, τὴν ἀθάνατον ἀποκόψας [15] κατώρυξε [16]· τὸ δὲ σῶμα τῆς Ὕδρας ἀνασχίσας [17], τῇ χολῇ τοὺς οἰστοὺς ἔβαψεν [18].

1 ἐκτρέφω. 2 ἔχω. 3 ἐπιβαίνω. 4 ἵστημι. 5 πυρόω. 6 ἀναγκάζω. 7 κατέχω. 8 ἐνέχομαι. 9 περιπλέκω.

κω. 10 ἀναφύω. 11 ἐπιβοηθέω. 12 ἐπικαλέω. 13 καταπρήθω. 14 ἄνειμι. 15 ἀποκόπτω. 16 κατορύσσω. 17 ἀναχίζω. 18 βάπτω.

17. Augias Stall.

Ἄλλον ἐπέταξεν Εὐρυσθεὺς αὐτῷ ἆθλον, τῶν Αὐγείου βοσκημάτων ἐν ἡμέρᾳ μιᾷ μόνον ἐκφορῆσαι[1] τὴν ὄνθον. ἦν δὲ Αὐγείας βασιλεὺς Ἤλιδος, πολλὰς δὲ εἶχε[2] βοσκημάτων ποίμνας. τούτῳ προσελθὼν[3] Ἡρακλῆς, οὐ δηλώσας τὴν Εὐρυσθέως ἐπιταγὴν, ἔφασκε μιᾷ ἡμέρᾳ τὴν ὄνθον ἐκφορήσειν, εἰ δώσει[4] τὴν δεκάτην[5] αὐτῷ τῶν βοσκημάτων. Αὐγείας δὲ ἀπιστῶν ὑπισχνεῖται. Ἡρακλῆς δὲ τῆς τε αὐλῆς τὸ θεμέλιον διεῖλε[6], καὶ τὸν Ἀλφειὸν ποταμὸν, καὶ τὸν Πηνειὸν, σύνεγγυς ῥέοντας, παροχετεύσας[7] ἐπήγαγεν[8], ἐκρεῖν δι' ἄλλης ἐξόδου ποιήσας. μαθὼν δὲ Αὐγείας, ὅτι κατ' ἐπιταγὴν Εὐρυσθέως τοῦτο ἐπιτετέλεσται[9], τὸν μισθὸν οὐκ ἀπεδίδου[10].

1 ἐκφορέω. 2 ἔχω. 3 προσέρχομαι. 4 δίδωμι. 5 scil. μερίδα (den zehnten Theil). 6 διαιρέω. 7 παροχετεύω. 8 ἐπάγω. 9 ἐπιτελέω. 10 ἀποδίδωμι.

18. Aktäon.

Ἀκταίων τραφεὶς[1] παρὰ Χείρωνι[2], κυνηγὸς ἐδιδάχθη[3]. καὶ ὕστερον κατεβρώθη[4] ὑπὸ τῶν ἰδίων κυνῶν, καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὅτι τὴν Ἄρτεμιν λουομένην εἶδε, καί φασὶ τὴν θεὸν παραχρῆμα αὐτοῦ τὴν μορφὴν εἰς ἔλαφον ἀλλάξαι[5], καὶ τοῖς ἑπομένοις αὐτῷ πεντήκοντα κυσὶν ἐμβαλεῖν λύσσαν, ὑφ' ὧν κατὰ ἄγνοιαν ἐβρώθη. ἀπολομένου δὲ Ἀκταίονος, οἱ κύνες, ἐπιζητοῦντες τὸν δεσπότην,

σπότην, κατωρύοντο, καὶ ζήτησιν ποιέμενοι παρεγένοντο ἐπὶ τὸ τε Χείρωνος ἄντρον, ὃς εἴδωλον κατεσκεύασεν Ἀκταίονος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσε [6].

1 τρέφω. 2 der Centaur Chiron erzog mehrere Prinzen, und führte sie vornehmlich zur Jagd an. 3 διδάσκω. 4 καταβρώσκω. 5 ἀλλάσσω. 6 παύω.

19. Niobe.

Ἀμφίων γαμεῖ Νιόβην τὴν Ταντάλε [1], ἣ γεννᾷ παῖδας μὲν ἑπτὰ, θυγατέρας δὲ ἴσας. Εὔτεκνος δὲ ἔσα Νιόβη, τῆς Λητε͂ς [2] εὐτεκνωτέρα εἶπεν ὑπάρχειν. Λητὼ δὲ ἀγανακτήσασα [3] τὴν τε Ἄρτεμιν καὶ τὸν Ἀπόλλω κατ᾽ αὐτῶν [4] παρώξυνε. καὶ τὰς μὲν θηλείας ἐπὶ τῆς οἰκίας κατετόξευσεν [5] Ἄρτεμις· τὲς δὲ ἄῤῥενας κοινῇ πάντας ἐν Κιθαιρῶνι Ἀπόλλων κυνηγετε͂ντας ἀπέκτεινεν. αὐτὴ δὲ Νιόβη Θήβας ἀπολιπε͂σα [6], πρὸς τὸν πατέρα Τάνταλον ἧκεν εἰς Σίπυλον, κἀκεῖ [7] Διὶ εὐξαμένη [8], τὴν μορφὴν εἰς λίθον μετέβαλε [9]· καὶ χεῖται [10] δάκρυα νύκτωρ καὶ μεθ᾽ ἡμέραν τε͂ λίθε [11].

1 scil. θυγατέρα. 2 weil nehmlich Latona nur zwei Kinder, den Apollo und die Diana, geboren hatte. 3 ἀγανακτέω. 4 nehmlich gegen die Kinder der Niobe. 5 κατατοξεύω. 6 ἀπολείπω. Theben war die Residenz ihres Gemahls, des Königs Amphion. 7 zusammengezogen statt καὶ ἐκεῖ. 8 εὔχομαι. 9 μεταβάλλω. 10 χέω. 11 τε͂ λίθε scil. ἐκ.

20. Oedipus tödtet seinen Vater, ohne es zu wissen.

Μετὰ τὴν Ἀμφίονος τελευτὴν, Λάϊος τὴν βασιλείαν [1] παρέλαβε, γήμας [2] Ἰοκάστην. Χρήσαντος

τος [3] δὲ τοῦ θεοῦ, τὸν γεννηθέντα [4] πατροκτόνον ἔσεσθαι [5], τὸ γεννηθὲν [6] ἐκθεῖναι [7] δίδωσι νομεῖ [8], περόναις διατρήσας [9] τὰ σφυρά. Ἀλλ' οὗτος μὲν ἐξέθηκεν [10] εἰς Κιθαιρῶνα. Πολύβου δὲ βουκόλοι, τοῦ Κορινθίων βασιλέως, τὸ βρέφος εὑρόντες [11], πρὸς τὴν αὐτοῦ γυναῖκα Περίβοιαν ἤνεγκαν [12]. ἡ δὲ ἀνελοῦσα [13] ὑποβάλλεται, καὶ θεραπεύσασα [14] τὰ σφυρὰ Οἰδίπουν καλεῖ, τοῦτο θεμένη [15] τὸ ὄνομα διὰ τὸ τοὺς πόδας ἀνοιδῆσαι [16]. τελειωθεὶς [17] δὲ ὁ παῖς, καὶ διαφέρων τῶν ἡλίκων ἐν ῥώμῃ, διὰ φθόνον ὠνειδίζετο [18] ὑπόβλητος. Ὁ δὲ πυνθανόμενος περὶ τῆς Περιβοίας, μαθεῖν [19] οὐκ ἠδύνατο [20]. ἀφικόμενος δὲ εἰς Δελφοὺς, περὶ τῶν ἰδίων ἐπυνθάνετο γονέων. ὁ δὲ θεὸς εἶπεν αὐτῷ, εἰς τὴν πατρίδα μὴ πορεύεσθαι· τὸν μὲν γὰρ πατέρα φονεύσειν, τὴν δὲ μητέρα γαμήσειν. Τοῦτο ἀκούσας Κόρινθον μὲν ἀπέλιπεν [21]. ἐφ' ἅρματος δε διὰ τῆς Φωκίδος φερόμενος, συντυγχάνει κατά τινα στενὴν ὁδὸν ἐφ' ἅρματος ὀχουμένῳ Λαΐῳ καὶ Πολυφόντῃ· κῆρυξ δὲ οὗτος ἦν Λαΐου· καὶ κελεύσαντος ἐκχωρεῖν, καὶ δι' ἀπείθειαν καὶ ἀναβολὴν κτείναντος τῶν ἵππων τὸν ἕτερον, ἀγανακτήσας Οἰδίπους καὶ Πολυφόντην καὶ Λάϊον ἀπέκτεινε, καὶ παρεγένετο εἰς Θήβας. Τὴν δὲ βασιλείαν Κρέων παραλαμβάνει.

1 die Herrschaft von Theben. 2 γαμέω. 3 χράω. 4 γεννάω. (sein Sohn) 5 εἰμί. 6 das Kind. 7 ἐκτίθημι. 8 νομεύς. 9 διατρέω. 10 ἐκτίθημι. 11 εὑρίσκω. 12 φέρω. 13 ἀναιρέω (sie nahm das Kind auf). 14 θεραπεύω. 15 τίθημι. 16 ἀνοιδέω. 17 τελειόω. 18 ὀνειδίζω. 19 μανθάνω. 20 δύναμαι. 21 ἀπολείπω.

21. Ferneres Schicksal des Oedipus; Räthsel der Sphinx.

Κρέοντος βασιλεύοντος οὐ μικρὰ συμφορὰ κατέσχε [1] Θήβας. ἔπεμψε [2] γὰρ Ἥρα Σφίγγα, ἣ εἶχε [3] πρόσωπον μὲν γυναικὸς, στῆθος δὲ καὶ βάσιν καὶ οὐρὰν λέοντος, καὶ πτέρυγας [4] ὄρνιθος· μαθοῦσα [5] δὲ αἴνιγμά τι παρὰ Μουσῶν, ἐπὶ τὸ Φίκειον ὄρος ἐκαθέζετο· καὶ τοῦτο προὔτεινε [6] Θηβαίοις· ἦν δὲ τὸ αἴνιγμα· τί ἐστιν, ὃ μίαν ἔχον φωνὴν, τετράπουν καὶ δίπουν καὶ τρίπουν γίνεται. χρησμοῦ δὲ Θηβαίοις ὑπάρχοντος, τηνικαῦτα ἀπαλλαγήσεσθαι [7] τῆς Σφιγγὸς, ἡνίκα ἂν τὸ αἴνιγμα λύσωσι [8], καὶ συνιόντων [9] εἰς αὐτὸ πολλάκις, ἐζήτει, τί τὸ λεγόμενόν ἐστιν. ἐπεὶ δὲ μὴ εὕρισκον, ἁρπάσασα [10] ἕνα κατεβίβρωσκε. πολλῶν δὲ ἀπολλυμένων καὶ τὸ τελευταῖον Αἵμονος τοῦ Κρέοντος [11], κηρύσσει Κρέων, τῷ τὸ αἴνιγμα λύσοντι [12] καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου δώσειν [13] γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν [14], εἰπὼν [15], τὸ αἴνιγμα τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον, ἄνθρωπον εἶναι. γεννᾶσθαι γὰρ τετράπουν βρέφος, τοῖς τέτταρσιν ὀχούμενον [16] κώλοις [17]· τελειούμενον δὲ τὸν ἄνθρωπον, δίπουν· γηρῶντα [18] δὲ τρίτην προσλαμβάνειν βάσιν τὸ βάκτρον. ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ἔῤῥιψεν [19]. Οἰδίπους δὲ τὴν βασιλείαν παρέλαβε [20], καὶ τὴν μητέρα ἔγημεν [21] ἀγνοῶν· καὶ παῖδας ἐτέκνωσεν [22] ἐξ αὐτῆς Πολυνείκη καὶ Ἐτεοκλέα· θυγατέρας δὲ Ἰσμήνην καὶ Ἀντιγόνην. Φανέντων [23] δὲ ὕστερον τῶν λανθανόντων [24], Ἰοκάστη μὲν ἐξ αἰσχύνης ἑαυτὴν ἀνήρτησεν [25]. Οἰδίπους δὲ τὰς ὄψεις τυφλώσας [26] ἐκ Θηβῶν ἠλαύνετο [27], ἀρὰς τοῖς παισὶ θέμενος [28], οἳ τῆς πόλεως αὐτὸν ἐκβαλλόμενον θεωροῦντες [29] οὐκ ἐπήμυναν [30]. Παραγενό-

μενος δὲ σὺν Ἀντιγόνῃ εἰς Κολωνὸν τῆς Ἀττικῆς [31], ἔνθα τὸ τῶν Εὐμενίδων ἐϛὶ τέμενος, καθίζει ἱκέτης, προσδεχθεὶς [32] ὑπὸ Θησέως· καὶ μετ' ȣ̓ πολὺν χρόνον ἀπέθανεν.

1 κατέχω. 2 πέμπω. 3 ἔχω. 4 πτέρυξ. 5 μανθάνω. 6 προτείνω. 7 ἀπαλλάσσω. 8 λύω. 9 σύνειμι. öfters, wenn die Theber zusammen (εἰς αὐτὸ) gekommen waren, fragte sie sie u. s. w. 10 ἁρπάζω. 11 scil. υἱȣ̃. 12 λύω. 13 δίδωμι. 14 λύω. 15 ἕπω. 16 ὀχέω. 17 weil nehmlich das Kind auf Händen und Füßen kriecht. 18 γηράω. 19 ῥίπτω. 20 παραλαμβάνω. 21 γαμέω. 22 τεκνοω. 23 φαίνω. 24 als die bisher verborgnen Begebenheiten, nehmlich der Vatermord und die Blutschande des Oedipus, an den Tag kamen. 25 ἀναρτάω. 26 τυφλόω. 27 ἐλαύνω. 28 τίθημι (er verfluchte seine Söhne). 29 θεωρέω. 30 ἐπαμύνω. 31 scil. τόπον. 32 προσδέχομαι.

22. Der erste Thebische Krieg.

1. Ἐτεοκλῆς καὶ Πολυνείκης [1] περὶ τῆς βασιλείας συντίθενται [2] πρὸς ἀλλήλȣς· καὶ αὐτοῖς δοκεῖ, τὸν ἕτερον παρ' ἐνιαυτὸν [3] ἄρχειν. Τινὲς μὲν ȣ̃ν λέγȣσι, πρῶτον ἄρξαντος [4] Πολυνείκȣς, παραδȣ̃ναι [5] μετ' ἐνιαυτὸν τὴν βασιλείαν Ἐτεοκλεῖ· τινὲς δὲ, πρῶτον Ἐτεοκλέȣς ἄρξαντος, μὴ βȣ́λεσθαι παραδȣ̃ναι τὴν βασιλείαν.

1 die hinterlaßnen Söhne des Oedip. 2 συντίθημι. 3 einer um den andern ein Jahr lang. 4 ἄρχω. 5 παραδίδωμι.

2. Φυγαδευθεὶς [1] ȣ̃ν Πολυνείκης ἐκ Θηβῶν ἧκεν εἰς Ἄργος, τὸν ὅρμον ἔχων [2]. ἐβασίλευε δὲ Ἄργȣς

γες Ἄδραςος· καὶ τοῖς τέτε βασιλείοις νύκτωρ προσπελάζει· καὶ συνάπτει μάχην [3] Τυδεῖ τῷ Οἰνέως, φεύγοντι Καλυδῶνα [4]. γενομένης δὲ ἐξαίφνης βοῆς, ἐπιφανεὶς [5] Ἄδραςος διέλυσεν [6] αὐτές. καὶ μάντεως τινὸς ὑπομνησθεὶς [7], λέγοντος αὐτῷ, κάπρῳ καὶ λέοντι συζεῦξαι [7] τὰς θυγατέρας, ἀμφοτέρες εἵλετο [9] νυμφίες· εἶχον [10] γὰρ ἐπὶ τῶν ἀσπίδων, ὁ μὲν, κάπρε προτομήν· ὁ δὲ, λέοντος. καὶ αὐτὲς Ἄδραςος ἀμφοτέρες εἰς τὰς πατρίδας ὑπέχετο [11] κατάξειν [12].

1 φυγαδεύω. 2 dis Halsband war eine Arbeit Vulkans und ehemals von diesem dem Kadmus, des Polynikes Ahnherrn, bei seiner Hochzeit für seine Gemahlin Harmonia geschenkt worden. 3 er ward handgemein mit dem Tydeus, der dieselbe Nacht beim Adrast angekommen war. 4 Kalydon war des Tydeus Vaterstadt, aus der er wegen eines unvorsätzlichen Mordes hatte entweichen müssen. 5 ἐπιφαίνομαι. 6 διαλύω. 7 ὑπομνάομαι. 8 συζευγνύω. 9 (er wählte sie) von αἱρέω. 10 ἔχω. 11 ὑπισχνέομαι. 12 κατάγω.

3. Ἄδραςος δὲ πρῶτον ἐπὶ Θήβας ἔσπευδε ςρατεύεσθαι, καὶ τὲς ἀριςέας συνήθροιζεν [1]. Ἀμφιάραος δὲ ὁ Οἰκλέες [2], μάντις ὢν, καὶ προειδὼς [3], ὅτι δεῖ πάντας τὲς ςρατευσαμένες χωρὶς Ἀδράςε τελευτῆσαι, αὐτός τε ὤκνει [4] ςρατεύεσθαι καὶ τὲς λοιπὲς ἀπέτρεπε. Πολυνείκης δὲ ἀφικόμενος πρὸς Ἶφιν ἠξίε [5] μαθεῖν, πῶς ἂν Ἀμφιάραος ἀναγκασθείη [6] ςρατεύεσθαι· ὁ δὲ εἶπεν, εἰ λάβοι τὸν ὅρμον Ἐριφύλη. Ἀμφιάραος μὲν ἔν ἀπεῖπεν [7] Ἐριφύλῃ, παρὰ Πολυνείκες δῶρα λαμβάνειν. Πολυνείκης δὲ δὲς [8] αὐτῇ τὸν ὅρμον ἠξίε

τὸν

τὸν Ἀμφιάραον πεῖσαι [9] στρατεύειν. Ἐριφύλη δὲ τὸν ὅρμον λαβοῦσα ἔπεισε τὸν Ἀμφιάραον στρατεύειν. Ἀμφιάραος δὲ τοῖς παισὶν ἐντολὰς ἔδωκε τελειωθεῖσι [10], τὴν μητέρα κτείνειν.

1 συναθροίζω. 2 scil. υἱός. 3 προειδέω. 4 ὀκνέω. 5 ἀξιόω. 6 ἀναγκάζω. 7 ἀπειπεῖν. 8 δίδωμι. 9 πείθω. 10 τελειόω (wenn sie erwachsen sein würden).

4. Ἄδραστος δὲ συναθροίσας [1], σὺν ἡγεμόσιν ἑπτὰ πολεμεῖν ἔσπευδε Θήβας. Οἱ δὲ ἡγεμόνες ἦσαν [2] οἵδε, Ἄδραστος, Ἀμφιάραος, Καπανεὺς, Ἱππομέδων· οὗτοι μὲν ἐξ Ἄργους· Πολυνείκης Οἰδίποδος [3], ἐκ Θηβῶν· Τυδεὺς Οἰνέως, Αἰτωλός· Παρθενοπαῖος, Ἀρκάς. Ὡς δὲ ἦλθον [4] εἰς τὸν Κιθαιρῶνα, πέμπουσι Τυδέα προεροῦντα [5] Ἐτεοκλεῖ, τὴν βασιλείαν παραχωρεῖν Πολυνείκει, καθὰ συνέθεντο [6]. μὴ προσέχοντος δὲ Ἐτεοκλέους, διάπειραν τῶν Θηβαίων Τυδεὺς ποιούμενος, καθ᾽ ἕνα προκαλούμενος [7] πάντων περιεγένετο. οἱ δὲ πεντήκοντα ἄνδρας ὁπλίσαντες [8] ἀπιόντα [9] ἐνήδρευσαν [10] αὐτόν· πάντας δὲ αὐτοὺς χωρὶς Μαίονος ἀπέκτεινε. κἄπειτα [11] ἐπὶ τὸ στρατόπεδον ἦλθεν.

1 συναθροίζω (scil. στρατὸν). 2 εἰμί. 3 scil. υἱός. 4 ἔρχομαι. 5 προερέω. 6 συντίθημι. 7 er foderte sie einzeln zum Kampf auf. 8 ὁπλίζω. 9 ἄπειμι. 10 ἐνεδρεύω. 11 zusammengezogen aus καὶ ἔπειτα.

5. Ἀργεῖοι δὲ καθοπλισθέντες [1] προσήεσαν [2] τοῖς τείχεσι. Καθώπλισε δὲ καὶ Ἐτεοκλῆς Θηβαίους, καὶ πῶς ἂν περιγένοιτο τῶν πολεμίων ἐμαντεύετο. ἦν δὲ παρὰ Θηβαίοις μάντις Τειρεσίας πολυχρόνιος. οὗτος οὖν Θηβαίοις μαντευόμενος, εἶπε

νικήσειν [3], ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει [4] σφάγιον αὐτὸν ἐπιδιδῷ. τοῦτο ἀκούσας Μενοικεὺς ὁ Κρέοντος ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξε [5].

1 καθοπλίζω. 2 πρόσειμι. 3 scil. αὐτούς. 4 Ἄρης. 5 σφάττω.

6. Μάχης δὲ γενομένης, οἱ Καδμεῖοι μέχρι τῶν τειχῶν συνεδιώχθησαν [1]. Καὶ Καπανεὺς ἁρπάσας [2] κλίμακα, ἐπὶ τὰ τείχη δι' αὐτῆς ἀνῄει [3]. καὶ Ζεὺς αὐτὸν κεραυνοῖ. Τούτου δὲ γενομένου, τροπὴ τῶν Ἀργείων γίνεται. ὡς δὲ ἀπώλλυντο [4] πολλοί, δόξαν [5] ἑκατέροις τοῖς στρατεύμασι, Ἐτεοκλῆς καὶ Πολυνείκης περὶ τῆς βασιλείας μονομαχοῦσι, καὶ κτείνουσιν ἀλλήλους. Καρτερᾶς δὲ πάλιν γενομένης μάχης, Ἀμφιαράῳ φεύγοντι πρὶν τὰ νῶτα τρωθῇ [6], Ζεὺς κεραυνὸν βαλὼν τὴν γῆν διέστησεν [7]. Ὁ δὲ σὺν τῷ ἅρματι καὶ τῷ ἡνιόχῳ ἐκρύφθη [8]. καὶ Ζεὺς ἀθάνατον αὐτὸν ἐποίησεν. Ἄδραστον δὲ μόνον ἵππος διέσωσεν [9] Ἀρίων.

1 συνδιώκω. 2 ἁρπάζω. 3 ἄνειμι. 4 ἀπόλλυμι. 5 von δοκέω. Das Particip δόξαν steht absolute statt des Genitivs δόξαντος. (da es ihnen gut dünkte). 6 τιτρώσκω. 7 διΐστημι. 8 κρύπτω. 9 διασώζω.

7. Κρέων δὲ τὴν Θηβαίων βασιλείαν παραλαβὼν [1], τοὺς τῶν Ἀργείων νεκροὺς ἔῤῥιψεν [2] ἀτάφους καὶ κηρύξας [3], μηδένα θάπτειν, φύλακας κατέστησεν [4]. Ἀντιγόνη δέ, μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα κλέψασα [5] ἔθαψε [6]. καὶ φωραθεῖσα [7] ὑπὸ Κρέοντος, αὐτὴν τῷ τάφῳ ζῶσαν [8] ἐνεκρύψατο [9].

1 παρα-

1 παραλαμβάνω. 2 ῥίπτω. 3 κηρύσσω. 4 καθίστημι. (er stellte darum Wache, damit niemand seinen Befehl, keinen zu begraben, übertreten sollte). 5 κλέπτω. 6 θάπτω. 7 φωράω. 8 ζάω. 9 ἐγκρύπτω.

8. Μετὰ δὲ ἔτη δέκα οἱ τῶν ἀπολομένων παῖδες κληθέντες[1] Ἐπίγονοι, στρατεύειν ἐπὶ Θήβας προῃροῦντο[2], τὸν τῶν πατέρων θάνατον τιμωρήσασθαι[3] βουλόμενοι. οὗτοι πρῶτον μὲν πορθοῦσι τὰς πέριξ κώμας· ἔπειτα τῶν Θηβαίων ἐπελθόντων[4], γενναίως μάχονται, καὶ εἰσίασιν εἰς τὴν πόλιν καὶ συναθροίζουσι τὴν λείαν, καὶ καθαιροῦσι τὰ τείχη.

1 καλέω. 2 προαιρέομαι. 3 τιμωρέω. 4 ἐπέρχομαι.

23. Achilles.

Θέτις ἐγέννησε[1] ἐκ Πηλέως βρέφος. Ἀθάνατον δὲ θέλουσα ποιῆσαι[2] τοῦτο, κρύφα Πηλέως[3] εἰς τὸ πῦρ ἐγκρύβουσα[4] τῆς νυκτὸς, ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον· μεθ᾽ ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας[5], καὶ ἀσπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς, ἐβόησε[6], καὶ Θέτις κωλυθεῖσα[7] τὴν προαίρεσιν τελειῶσαι[8], νήπιον τὸν παῖδα ἀπολιποῦσα[9], πρὸς Νηρηΐδας[10] ᾤχετο[11]· κομίζει δὲ τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς. ὁ δὲ λαβὼν αὐτὸν ἔτρεφε σπλάγχνοις λεόντων, καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς· καὶ ὠνόμασεν[12] Ἀχιλλέα. ὡς δὲ ἐγένετο ἐνναετὴς Ἀχιλλεὺς, Κάλχαντος λέγοντος οὐ δύνασθαι χωρὶς αὐτοῦ Τροίαν αἱρεθῆναι[13], Θέτις προειδυῖα[14], ὅτι δεῖ στρατευόμενον αὐτὸν ἀπολέσθαι[15], ἔκρυψεν[16]

ἐσθῆτι γυναικείᾳ ὡς παρθένον. Ὀδυσσεὺς δὲ εὗρε αὐτὸν· καὶ τοῦτον τὸν τρόπον εἰς Τροίαν ἦλθε.

1 γεννάω. 2 ποιέω. 3 ohne daß Peleus es wußte. 4 ἐγκρύπτω. 5 ἐπιτηρέω. 6 βοάω. 7 κωλύω. 8 τελειόω. 9 ἀπολείπω. 10 die Nereiden waren ihre Schwestern. 11 οἴχομαι. 12 ὀνομάζω. 13 αἱρέω. 14 προειδέω. 15 ἀπόλλυμι. 16 κρύπτω.

25. Das kretische Labyrinth; Dädalus.

Μινώταυρος εἶχε ταύρου πρόσωπον, τὰ δὲ λοιπὰ ἀνδρός. Οὗτος ἐν Λαβυρίνθῳ ἦν καθειργμένος [1]· ἐν ᾧ τὸν εἰσελθόντα ἀδύνατον ἦν ἐξιέναι [2]· πολυπλόκοις γὰρ καμπαῖς τὴν ἀγνοουμένην ἔξοδον ἀπέκλειε. κατεσκευάκει [3] δὲ αὐτὸν Δαίδαλος· οὗτος ἦν ἀρχιτέκτων ἄριστος καὶ πρῶτος ἀγαλμάτων εὑρετής. Οὗτος ἐξ Ἀθηνῶν ἔφυγεν [4], ἀπὸ τῆς ἀκροπόλεως βαλὼν τὸν τῆς ἀδελφῆς υἱὸν Τάλω, μαθητὴν [5] ὄντα· δείσας [6], μὴ διὰ τὴν εὐφυΐαν αὐτὸν ὑπερβάλῃ. Φωραθέντος [7] δὲ τοῦ νεκροῦ κριθεὶς [8] ἐν Ἀρείῳ πάγῳ [9], καὶ καταδικασθεὶς [10] πρὸς Μίνωα ἔφυγε. κἀκεῖ [11] τὸν Λαβύρινθον κατεσκεύασεν, εἰς ὃν κατὰ ἔτος Ἀθηναῖοι κόρους ἑπτὰ καὶ κόρας τὰς ἴσας τῷ Μινωταύρῳ βορὰν ἔπεμπον.

1 καθείργω. 2 ἔξειμι. 3 κατασκευάζω. 4 φεύγω. 5 scil. αὐτοῦ. 6 δείδω. 7 φωράω. 8 κρίνω. 9 im Areopagus. 10 καταδικάζω. 11 zusammengezogen aus καὶ ἐκεῖ.

Aus

XV.

Aus dem Lukian.

1. Nachricht von sehr alt gewordnen Menschen.

1.

Ἔθνη ὅλα μακροβιώτατα ἱστορεῖται [1], ὥσπερ Σῆρας μὲν ἱστοροῦσι μέχρι τριακοσίων ζῆν ἐτῶν, οἱ μὲν τῷ ἀέρι, οἱ δὲ τῇ γῇ τὴν αἰτίαν τοῦ μακροῦ γήρως [2] προστιθέντες, οἱ δὲ καὶ τῇ διαίτῃ· ὑδροποτεῖν γάρ φασι τὸ ἔθνος τοῦτο σύμπαν. καὶ Ἀθώτας δὲ μέχρι τριάκοντα καὶ ἑκατὸν ἐτῶν βιοῦν ἱστόρηται, καὶ τοὺς Χαλδαίους ὑπὲρ τὰ ἑκατὸν ἔτη βιοῦν λόγος· τούτους μὲν καὶ κριθίνῳ ἄρτῳ χρωμένους, ὡς ὀξυδορκίας τοῦτο φάρμακον· οἷς γε φασὶ διὰ τὴν τοιαύτην δίαιταν καὶ τὰς ἄλλας αἰσθήσεις ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους [3] ἐῤῥωμένας εἶναι.

1 man erzählt von ganzen Völkern, die u. s. w. 2 zusammengezogen statt γήρατος von γῆρας 3 vor allen andern.

2. Ἀλλὰ ταῦτα μὲν περὶ τῶν μακροβίων ἐθνῶν, ἅτινα φασιν ἐπὶ πλεῖστον διαγίγνεσθαι χρόνον· οἱ μὲν διὰ τὴν γῆν καὶ τὸν ἀέρα, οἱ δὲ διὰ τὴν δίαιταν, οἱ δὲ καὶ δι' ἄμφω. Ἐγὼ δ' ἂν ὑμῖν δικαίως τὴν ἐλπίδα ῥᾳδίως παράσχοιμι [1], ἱστορήσας, ὅτι καὶ κατὰ πᾶσαν τὴν γῆν καὶ κατὰ πάντα ἀέρα μακρόβιοι γεγόνασιν [2] ἄνδρες, οἱ γυμνασίοις τοῖς καθήκουσι καὶ διαίτῃ τῇ ἐπιτηδειοτάτῃ πρὸς ὑγίειαν χρώμενοι [3].

1 παρέχω. 2 γίγνομαι. 3 χράομαι.

3. Πομπίλιος Νȣμᾶς ὁ εὐδαιμονέστατος τῶν Ῥωμαίων βασιλέων, καὶ μάλιστα περὶ τὴν θεραπείαν τῶν θεῶν ἀσχοληθεὶς [1] ὑπὲρ ὀγδοήκοντα ἔτη βεβιωκέναι [2] ἱστορεῖται. Σέρβιος δὲ Τȣ́λλιος, Ῥωμαίων καὶ ȣ̃τος βασιλεὺς, ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη καὶ αὐτὸς βιώσας ἱστορεῖται. Ταρκύνιος δὲ ὁ τελευταῖος Ῥωμαίων βασιλεὺς, φυγαδευθεὶς, καὶ ἐπὶ Κύμης διατρίβων, ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται σεῤῥότατα βιῶσαι.

1 ἀσχολέω. 2 βιόω.

4. Οὗτοι μὲν ȣ̃ν Ῥωμαίων βασιλεῖς, οἷς συνάψω [1] καὶ τȣ̀ς λοιπȣ̀ς βασιλέας, τȣ̀ς εἰς μακρὸν γῆρας ἀφικομένȣς [2]. Ἀργανθώνιος μὲν ȣ̃ν Ταρτησσίων βασιλεὺς πεντήκοντα καὶ ἕκατον ἔτη βιῶναι [3] λέγεται. ἀλλὰ τȣ̃το μὲν μῦθος τισὶ δοκεῖ. Ἀγαθοκλῆς δὲ ὁ Σικελίας τύραννος, ἐτῶν ἐνενήκοντα πέντε τελευτᾷ. Ἱέρων δὲ ὁ Συρακȣσίων τύραννος, δύο καὶ ἐνενήκοντα ἐτῶν γενόμενος, ἐτελεύτα νοσῶν, βασιλεύσας ἑβδομήκοντα ἔτη. Ατέας δὲ Σκυθῶν βασιλεὺς, μαχόμενος πρὸς Φιλίππον περὶ τὸν Ἴστρον ποταμὸν, ἔπεσεν [4] ὑπὲρ τὰ ἐνενήκοντα ἔτη γεγονώς [5]. Βάρδυλις δὲ ὁ Ἰλλυριῶν βασιλεὺς, ἀφ' ἵππȣ λέγεται μάχεσθαι ἐν τῷ πρὸς Φιλίππον πολέμῳ, εἰς ἐνενήκοντα τελῶν [6] ἔτη.

1 συνάπτω. 2 ἀφικνέομαι. 3 βίωμι. 4 πίπτω. 5 γίνομαι. 6 gelangend.

5. Πτολεμαῖος δὲ ὁ Λάγȣ, ὁ τῶν καθ' ἑαυτὸν [1] εὐδαιμονέστατος βασιλέων, Αἰγύπτȣ μὲν ἐβασίλευσε τέσσαρα καὶ ὀγδοήκοντα βιώσας ἔτη, ζῶν

δὲ παρέδωκε [2] τὴν ἀρχὴν πρὸ δυοῖν ἐτοῖν τῆς τελευτῆς τῷ Πτολεμαίῳ τῷ υἱῷ, Φιλαδέλφῳ δὲ ἐπίκλησιν, ὅστις διεδέξατο [3] τὴν πατρῴαν βασιλείαν. Κῦρος δὲ ὁ Περσῶν βασιλεὺς, ὁ παλαιὸς [4] ἑκατοντούτης γενόμενος ἐζήτει μὲν ἕνα [5] ἕκαστον τῶν φίλων· μαθὼν [6] δὲ τοὺς πλείστους διεφθαρμένους [7] ὑπὸ Καμβύσου τοῦ υἱέος, καὶ φάσκοντος Καμβύσου κατὰ πρόσταγμα τὸ ἐκείνου ταῦτα πεποιηκέναι [7], ἀθυμήσας ἐτελεύτα τὸν βίον.

1 in seinem Zeitalter. 2 παραδίδωμι. 3 διαδέχομαι. 4 zum Unterschiede von dem jüngern Kyrus, der gegen seinen Bruder, den König Artaxerxes, rebellirte. 5 εἷς. 6 μανθάνω. 7 διαφθείρω. 8 ποιέω.

6. Ἐπεὶ δὲ καὶ φιλόσοφοι καὶ πάντες οἱ περὶ παιδείαν ἔχοντες, ἐπιμέλειάν πως καὶ οὗτοι ποιούμενοι ἑαυτῶν, εἰς μακρὸν γῆρας ἦλθον, ἀναγράψωμεν [1] καὶ τούτων τοὺς ἱστορημένους. Δημόκριτος μὲν ὁ Ἀβδερίτης, ἐτῶν γεγονὼς [2] τεσσάρων καὶ ἑκατὸν, ἀποσχόμενος [3] τροφῆς ἐτελεύτα. Σόλων δὲ, καὶ Θαλῆς, καὶ Πιττακὸς, οἵτινες τῶν κληθέντων [4] ἑπτὰ σοφῶν ἐγένοντο, ἑκατὸν ἕκαστος ἔζησεν [5] ἔτη. Ζήνων δὲ ὁ τῆς Στωϊκῆς φιλοσοφίας ἀρχηγὸς, ὀκτὼ καὶ ἐνενήκοντα, ὅν φασιν ἀποσχόμενον τροφῆς τελευτῆσαι τὸν βίον. Κλεάνθης δὲ ὁ Ζήνωνος μαθητὴς καὶ διάδοχος, ἐννέα καὶ ἐνενήκοντα οὗτος γεγονὼς ἔτη, φῦμα ἔχεν [6] ἐπὶ τοῦ χείλους, καὶ ἀποκαρτερῶν, ἐπελθόντων αὐτῷ παρ᾽ ἑταίρων τινῶν γραμμάτων, προσενεγκάμενος [7] τροφὴν, καὶ πράξας περὶ ὧν ἠξίουν [8] οἱ φίλοι, ἀποσχόμενος αὖθις τροφῆς, ἐξέλιπε [9] τὸν βίον. Σοφοκλῆς ὁ τραγῳδοποιὸς, ῥᾶγα [10] σταφυλῆς καταπιὼν [11] ἀπεπνίγη [12],

γῃ [12], πέντε καὶ ἐνενήκοντα ζήσας [13] ἔτη· οὗτος ὑπὸ Ἰοφῶντος τοῦ υἱέος [14] ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος, ἀνέγνω [15] τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ [16], ἐπιδεικνύμενος, διὰ τοῦ δράματος, ὅπως τὸν νοῦν ὑγιαίνει· ὡς τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι [17], καταψηφίσασθαι [18] δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν. Φιλήμων δὲ ὁ κωμικὸς, ἑπτὰ καὶ ἐνενήκοντα ἔτη βιοὺς [19], κατέκειτο [20] μὲν ἐπὶ κλίνης ἠρεμῶν. Θεασάμενος [21] δὲ ὄνον τὰ παρεσκευασμένα [22] αὐτῷ σῦκα κατεσθίοντα, ὥρμησε [23] μὲν εἰς γέλωτα· καλέσας δέ τὸν οἰκέτην καὶ σὺν πολλῷ καὶ ἀθρόῳ γέλωτι εἰπὼν προσδοῦναι [24] τῷ ὄνῳ ἀκράτου ῥοφεῖν, ἀποπνιγεὶς [25] ὑπὸ τοῦ γέλωτος ἀπέθανε.

1 ἀναγράφω. 2 γίνομαι. 3 ἀπέχω. 4 καλέω 5 ζάω. 6 ἔχω. 7 προσφέρω. 8 ἀξιόω. (Nachdem er das Verlangen oder den Auftrag seiner Freunde ausgerichtet) 9 ἐκλείπω. 10 ῥάξ. 11 καταπίνω. 12 ἀποπνίγω. 13 ζάω. 14 υἱεύς. 15 ἀναγινώσκω. 16 den Oedip auf dem Hügel Kolonus bei Athen. Wir haben vom Sophokles noch zwei Trauerspiele unter dem Titel Oedip. Das hier gemeinte enthält den Tod desselben. 17 ὑπερθαυμάζω. 18 καταψηφίζομαι. 19 βίωμι. 20 κατάκειμαι. 21 θεάομαι. 22 παρασκευάζω. 23 ὁρμάω. (er brach in ein Gelächter aus). 24 προσδίδωμι. 25 ἀποπνίγω.

2. Einige Gespräche aus dem Lukian.

1. Jupiter, Aeskulap und Herkules.

ΖΕΥΣ. Παύσασθε[1] ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα καὶ ἀλλότρια[2] τοῦ συμποσίου τῶν θεῶν. — ἩΡΑΚΛΗΣ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου; ἈΣΚΛΗΠΙΟΣ. νὴ Δία, καὶ ἀμείνων γάρ εἰμι. ἩΡ. κατὰ τί, ὦ ἐμβρόντητε· ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν[3], ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ᾽ ἔλεον αὖθις ἀθανασίας μετείληφας[4]; ἈΣΚΛ. Ἐπιλέλησαι[5] γὰρ καὶ σὺ, ὦ Ἡράκλες, ἐν τῇ Οἴτῃ καταφλεγεὶς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ; ἩΡ. οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν[6]· ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα[7], ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος, καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ δὲ ῥιζοτόμος εἶ, καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν[8] τῶν φαρμάκων[9], ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος. ἈΣΚΛ. Εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρώην ἀνῆλθες ἡμίφλεκτος, ὑπ᾽ ἀμφοῖν διεφθαρμένος[10] τὸ σῶμα, τοῦ χιτῶνος[11] καὶ μετὰ τοῦτο, τοῦ πυρός. ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ, οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ, πορφυρίδα ἐνδεδυκὼς[12], καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης[13] χρυσῷ σανδάλῳ, ἀλλ᾽ οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα[14]. ἩΡ. εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα

εἴσῃ [15], ὡς οὐ πολύ σε ὀνήσει [16] ἡ ἀθανασία, ἐπεὶ ἀράμενός [17] σε, ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιῶνα ἰάσασθαί σε, τὸ κρανίον συντριβέντα. ΖΕΥΣ. παύσασθέ, φημι, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ συμποσίου· καίτοι εὔγνωμον, ὦ Ἡρακλες, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν ἅτε καὶ πρότερον ἀποθανόντα.

1 παύομαι. 2 unschiklich beim. f. 3 Jupiter erschlug mit seinem Blitze den Aeskulap, als er den Sohn des Theseus, Hippolytus, wieder vom Tode erwekt hatte. 4 μεταλαμβάνω. 5 ἐπιλανθάνομαι. 6 wir haben nicht einerlei Lebensart geführt. 7 πονέω. 8 ἐπιτίθημι. 9 scil. τινά. 10 διαφθείρω. 11 das mit dem vergifteten Blute des Centaur Nessus bestrichene Hemd, welches dem Herkules seine Gemalin Dejanira zuschikte. 12 ἐνδύω. 13 bei der Omphale, Königin von Lydien, diente Herkules eine Zeit lang als Sklave. 14 Herkules hatte in der Raserei seine Gemalin Megara und seine Kinder getödtet. 15 εἴδω. 16 ὀνέω. 17 αἴρω.

2. Merkur und seine Mutter Maja.

ΕΡΜΗΣ. Ἔστι γάρ τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ; — ΜΑΙΑ. μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον μηδέν. ΕΡΜ. τί μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω, μόνος κάμνων καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος [1]; ἕωθεν γὰρ ἐξαναστάντα [2] σαίρειν τὸ συμπόσιον δεῖ καὶ διαστρώσαντα [3] τὴν ἐκκλησίαν, εἶτα εὐθετήσαντα [4] ἕκαστα, παραστάναι [5] τῷ Διῒ, καὶ διαφέρειν τὰς ἀγγελίας τὰς παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα· καὶ

καὶ ἐπανελθόντα ἔτι κεκονιμένον [6] παρατιθέναι [7] τὴν ἀμβροσίαν· πρὶν δὲ τὸν νεώνητον τȣ̃τον οἰνοχόον [8] ἥκειν, καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον. τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ Πλȣ́τωνι ψυχαγωγεῖν, καὶ νεκροπομπὸν εἶναι, καὶ παρεςάναι τῷ δικαςηρίῳ. ȣ̓ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέρας ἔργα, ἐν παλαίςραις εἶναι, κἀν ταῖς ἐκκλησίαις κηρύττειν, καὶ ῥήτορας ἐκδιδάσκειν, ἀλλ᾽ ἔτι καὶ νεκρικὰ συνδιαπράττειν μεμερισμένον [9]. Καίτοι τὰ μὲν τῆς Λήδας τέκνα [10] παρ᾽ ἡμέραν ἑκάτερος ἐν ȣ̓ρανῷ καὶ ἐν ᾅδȣ εἰσίν. — ἐμοὶ δὲ καθ᾽ ἑκάςην ἡμέραν καὶ ταῦτα κἀκεῖνα ποιεῖν ἀναγκαῖον. Καὶ οἱ μὲν Ἀλκμήνης καὶ Σεμέλης υἱοὶ [11], ἐκ γυναικῶν δυςήνων γενόμενοι, εὐωχȣ̃νται ἀφρόντιδες· ὁ δὲ Μαίας τῆς Ἄτλαντος διακονȣ̃μαι αὐτοῖς. Καὶ νῦν ἄρτι ἥκοντα με ἀπὸ Σιδῶνος παρὰ τῆς Κάδμȣ ἀδελφῆς [12], ἐφ᾽ ἣν πέπομφέ [13] με ὀψόμενον [14] ὅ, τι πράττει ἡ παῖς, μηδὲ ἀναπνεύσαντα πέπομφεν αὖθις ἐς τὸ Ἄργος ἐπισκεψόμενον [15] τὴν Δανάην [16]. Καὶ ὅλως ἀπηγόρευκα [17] ἤδη. εἰ γȣ̃ν μοι δυνατὸν ἦν, ἡδέως ἂν ἠξίωσα [18] πεπρᾶσθαι [19], ὥσπερ οἱ ἐν γῇ κακῶς δȣλεύοντες. ΜΑΙΑ. ἔα ταῦτα, ὦ τέκνον. Χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρὶ, νεανίαν ὄντα. καὶ νῦν ὥσπερ ἐπέμφθης [20], σόβει ἐς Ἄργος, μὴ καὶ πληγὰς βραδύνων λάβοις· ὀξύχολοι γὰρ οἱ ἐρῶντες.

1 διασπάω. 2 ἐξανίςημι. 3 διαςρώννυμι. 4 εὐθετέω. 5 παρίςημι. 6 κονίω. 7 παρατίθημι. 8 Ganymedes. 9 μερίζω. 10 Kastor und Pollux. 11 Herkules und Bakchus. 12 Europa. 13 πέμπω. 14 ὄπτομαι 15 ἐπισκέπτομαι. 16 Danae, Tochter des Königs

Königs Akrisius von Argos. 17 ἀπαγορεύω. 18 ἀξιόω. 19 πιπράσκω. 20 πέμπω.

3. Der Kyklop Polyphem und sein Vater Neptun.

ΚΥΚΛΩΨ. Ω Πάτερ οἷα πέπονθα [1] ὑπὸ τȣ̃ καταράτȣ ξένȣ· ὃς μεθύσας [1] ἐξετύφλωσέ [3] με, κοιμωμένῳ ἐπιχειρήσας. ΠΟΣΕΙΔΩΝ. Τίς δὲ ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε; ΚΥΚΛ. τὸ μὲν πρῶτον Οὖτιν ἑαυτὸν ἀπεκάλει· ἐπεὶ δὲ διέφυγε, καὶ ἔξω ἦν βέλȣς, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη. ΠΟΣ. Οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον· ἐξ Ἰλίȣ δ' ἀνέπλει. ἀλλὰ πῶς ταῦτ' ἔπραξεν, ȣ̓δὲ πάνυ εὐθαρσὴς ὤν; ΚΥΚΛ. Κατέλαβον ἐν τῷ ἄντρῳ, ἀπὸ τῆς νομῆς ἀναςρέψας [4], πολλȣ́ς τινας, ἐπιβȣλεύοντας δηλονότι τοῖς ποιμνίοις. ἐπεὶ γὰρ ἐπέθηκα [5] τῇ θύρᾳ τὸ πῶμα (πέτρα δὲ ἐςί μοι παμμεγέθης) καὶ τὸ πῦρ ἀνέκαυσα [6], ἐναυσάμενος [7] ὃ ἔφερον δένδρον ἀπὸ τȣ̃ ὄρȣς, ἐφάνησαν [8] ἀποκρύπτειν αὐτȣ̀ς πειρώμενοι· ἐγὼ δὲ συλλαβὼν [9] αὐτῶν τινας, ὥσπερ εἰκὸς ἦν, κατέφαγον λῃςὰς ὄντας· ἐνταῦθα ὁ πανȣργότατος ἐκεῖνος, εἴτε Οὖτις, εἴτε Ὀδυσσεὺς ἦν, δίδωσι μοι πιεῖν φάρμακόν τι [10] ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβȣλότατον δὲ καὶ ταραχωδέςατον· ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι, καὶ τὸ σπήλαιον αὐτὸ ἀνεςρέφετο, καὶ ȣ̓κ ἔτι ὅλως ἐν ἐμαυτῷ ἤμην [11]. τέλος δὲ ἐς ὕπνον κατεσπάσθην [12]. ὁ δὲ, ἀποξύσας [13] τὸν μοχλὸν καὶ πυρώσας γε προσέτι, ἐτύφλωσε με καθεύδοντα. καὶ ἀπ' ἐκείνȣ τυφλός εἰμί σοι, ὦ Πόσειδον. ΠΟΣ. Ὡς βαθύν [14] ἐκοιμήθης, ὦ τέκνον, ὃς ȣ̓κ ἐξέθορες [15] μεταξύ τυφλȣ-

φλέμενος. ὁ δ᾽ ὖν Ὀδυσσεὺς πῶς διέφυγεν [16]; ὐ γὰρ ἂν εὖ οἶδ᾽ ὅτι ἐδυνήθη [17] ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας. ΚΥΚΛ. Ἀλλ᾽ ἐγὼ ἀφεῖλον [18], ὡς μᾶλλον αὐτὸν λάβοιμι ἐξιόντα, καὶ καθίσας παρὰ τὴν θύραν ἐθήρων [19] τὰς χεῖρας ἐκπετάσας [20], μόνα παρεὶς [21] τὰ πρόβατα ἐς τὴν νομὴν, ἐντειλάμενος [22] τῷ κριῷ, ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμῦ. ΠΟΣ. Μανθάνω, ὑπ᾽ ἐκείνοις [23] ὅτι γε ἔλαθεν ὑπεξελθών σε· ἀλλὰ τὺς ἄλλυς γε Κύκλωπας ἔδει ἐπιβοήσασθαι [24] ἐπ᾽ αὐτόν. ΚΥΚΛ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἧκον. ἐπεὶ δὲ ἤροντο [25] τῦ ἐπιβυλεύοντος τὸ ὄνομα, κᾀγὼ [26] ἔφην ὅτι Οὖτις ἐςὶ, μελαγχολᾷν οἰηθέντες [27] με, ᾤχοντο [28] ἀπιόντες. ὕτω κατεσοφίσατό [29] με ὁ κατάρατος τῷ ὀνόματι. καὶ ὃ μάλιςα ἠνίασέ [30] με, ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν συμφορὰν, ὐδ᾽ ὁ πατήρ φησιν, ὁ Ποσειδῶν, ἰάσεταί [31] σε. ΠΟΣ. Θάρσει, ὦ τέκνον, ἀμυνῦμαι γὰρ αὐτὸν, ὡς μάθῃ ὅτι, εἰ καὶ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τὰ γῦν τῶν πλεόντων, τὸ σώζειν αὐτὺς καὶ ἀπολλύναι ἐπ᾽ ἐμοὶ πάντως ἐςι [32]. πλεῖ δὲ ἔτι.

1 πάσχω. 2 μεθύσκω. 3 ἐκτυφλόω. 4 ἀναςρέφω. 5 ἐπιτίθημι. 6 ἀνακαίω. 7 ἐναύω. 8 φαίνω. 9 συλλαμβάνω. 10 er meint den Wein, den ihm Ulysses reichte. 11 εἰμὶ (ich war gar nicht mehr bei mir selbst). 12 κατασπάω. 13 ἀποξύω. 14 scil. ὕπνον. 15 ἐκθορέω. 16 διαφεύγω. 17 δύναμαι. 18 ἀφαιρέω. 19 θηράω. 20 ἐκπετάννυμι. 21 παρίημι. 22 ἐντέλλομαι. 23 unter den Bökken verstekt und festgebunden entgieng Ulysses mit seinen Gefährten dem Polyphem. 24 ἐπιβοάω. 25 ἔρομαι. 26 καὶ ἐγὼ. 27 οἴομαι, 28 οἴχομαι. 29 κατασοφίζομαι. 30 ἀνιάω. 31 ἰάομαι. 32 in meiner Gewalt steht.

4. Jupiter und der Sonnengott.

ΖΕΥΣ. Οἷα πεποίηκας [1], ὦ Τιτάνων κάκιστε; ἀπολώλεκας [2] τὰ ἐν τῇ γῇ ἅπαντα, μειρακίῳ ἀνοήτῳ [3] πιστεύσας τὸ ἅρμα, ὃς τὰ μὲν κατέφλεξε [4], πρόσγειος ἐνεχθεὶς [5], τὰ δὲ ὑπὸ κρύους διαφθαρῆναι [7] ἐποίησε, πολὺ αὐτῶν ἀποσπάσας τὸ πῦρ· καὶ ὅλως οὐδὲν [7] ὅ, τι οὐ ξυνετάραξε [8] καὶ ξυνέχεε [9]. Καὶ εἰ μὴ ἐγὼ ξυνεὶς [10] τὸ γιγνόμενον, κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον ἀνθρώπων ἐπέμεινεν ἄν. τοιοῦτον ἡμῖν τὸν καλὸν ἡνίοχον καὶ διφρηλάτην ἐκπέπομφας [11]. ΗΛΙΟΣ. Ἥμαρτον [12] ὦ Ζεῦ. ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην [13] υἱῷ πολλὰ ἱκετεύοντι· πόθεν γὰρ ἂν καὶ ἤλπισα [14] τηλικοῦτον γενήσεσθαι [15] κακόν; ΖΕΥΣ. Οὐκ ᾔδεις [16] ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα, καὶ ὡς, εἰ βραχύ τις ἐκβαίη [17] τῆς ὁδοῦ, οἴχεται πάντα; ἠγνόεις δε καὶ τῶν ἵππων τὸν θυμὸν, ὡς δεῖ συνέχειν ἀνάγκῃ τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη [18] τις, ἀφηνιάζουσιν εὐθὺς· ὥσπερ ἀμέλει [19] καὶ τοῦτον ἐξήνεγκαν [20], ἄρτι μὲν ἐπὶ λαιὰ, μετ᾽ ὀλίγον δὲ ἐπὶ τὰ δεξιὰ καὶ ἐς τὸ ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω καὶ κάτω ὅλως ἔνθα ἐβούλοντο αὐτοί· ὁ δὲ οὐκ εἶχεν [21], ὅ, τι χρήσαιτο [22] αὐτοῖς. ΗΛΙΟΣ. Ταῦτα μὲν πάντα ἠπιστάμην [23], καὶ διὰ τοῦτο ἀντεῖχον [24] ἐπιπολὺ, καὶ οὐκ ἐπίστευον αὐτῷ τὴν ἔλασιν. ἐπεὶ δὲ κατελιπάρησε δακρύων, καὶ ἡ μήτηρ Κλυμένη μετ᾽ αὐτοῦ, ἀναβιβασάμενος [25] ἐπὶ τὸ ἅρμα ὑπεθέμην [26], ὅπως μὲν χρὴ βεβηκέναι [27] αὐτὸν, ἐφ᾽ ὁπόσον δὲ ἐς τὸ ἄνω ὑπερενεχθῆναι [28], εἶτα ἐς τὸ κάταντες αὖθις ἐπινεύειν, καὶ ὡς ἐγκρατῆ εἶναι τῶν ἡνιῶν, καὶ μὴ ἐφιέναι [29] τῷ θυμῷ τῶν ἵππων· εἶπον δὲ καὶ ἡλίκος ὁ κίνδυ-

νος,

νος, εἰ μὴ ὀρθὴν[30] ἐλαύνοι. ὁ δὲ (παῖς γὰρ ἦν) ἐπιβὰς[31] τοσούτου πυρὸς, καὶ ἐπικύψας[32] ἐς βάθος ἀχανὲς, ἐξεπλάγη[33], ὡς τὸ εἰκός. οἱ δὲ ἵπποι, ὡς ᾔσθοντο[34] οὐκ ὄντα ἐμὲ τὸν ἐπιβεβηκότα[35], καταφρονήσαντες τοῦ μειρακίου, ἐξετράποντο[36] τῆς ὁδοῦ, καὶ τὰ δεινὰ ταῦτα ἐποίησαν. ὁ δὲ τὰς ἡνίας ἀφεὶς[38], οἶμαι δεδιὼς[38] μὴ ἐκπέσῃ[39], αὐτὸς εἴχετο[40] τοῦ δίφρου. ἀλλὰ ἐκεῖνός τε ἤδη ἔχει τὴν δίκην, κἀμοὶ, ὦ Ζεῦ, ἱκανὸν τὸ πένθος. ΖΕΥΣ. Ἱκανὸν λέγεις, τοιαῦτα τολμήσας; νῦν μὲν οὖν συγγνώμην ἀπονέμω σοι· ἐς δὲ τὸ λοιπὸν, ἤν τι ὅμοιον παρανομήσῃς, ἢ τινὰ τοιοῦτον σεαυτοῦ διάδοχον ἐκπέμψῃς, αὐτίκα εἴσῃ[41], ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς πυρωδέστερος[42]. ὡς ἐκεῖνον μὲν αἱ ἀδελφαὶ θαπτέτωσαν ἐπὶ τῷ Ἠριδανῷ, ἵνα περ ἔπεσεν[43] ἐκδιφρευθεὶς, ἤλεκτρον ἐπ᾽ αὐτῷ δακρύουσαι, καὶ αἴγειροι γιγνέσθωσαν ἐπὶ τῷ πάθει[44]· σὺ δὲ συμπηξάμενος[45] τὸ ἅρμα (κατέαγε[46] γὰρ καὶ ὁ ῥυμὸς αὐτοῦ καὶ ἅτερος[47] τῶν τροχῶν συντέτριπται[48]) ἔλαυνε, ὑπαγαγὼν τοὺς ἵππους· ἀλλὰ μέμνησο[48] τούτων ἁπάντων.

1 ποιέω. 2 ἀπόλλυμι. 3 nehmlich dem Phaeton dessen Vater der Helios oder Sonnengott war. 4 καταφλέγω. 5 φέρω. 6 διαφθείρω. 7 ἐςί. 8 Attisch für συνετάραξε von συνταράσσω. 9 Attisch für συνέχεε. 10 von συνίημι. 11 ἐκπέμπω. 12 ἁμαρτάνω. 13 πείθω. 14 ἐλπίζω (erwarten). 15 γίνομαι. 16 εἰδέω. 17 ἐκβαίνω. 18 ἐνδίδωμι. 19 nehmlich. 20 ἐκφέρω (sie sind mit ihm durchgegangen) 21 ἔχω (er wußte nicht). 22 χράομαι (was er mit ihnen anfangen sollte). 23 ἐπίςαμαι. 24 ἀντέχω. 25 ἀναβιβάζω. 26 ὑποτίθημι. 27 βαίνω. 28 ὑπερφέρω. 29 ἐφίημι. 30 scil. ὁδόν. 31 ἐπιβαίνω. 32 ἐπικύπτω. 33 ἐκπλήσσω. 34 αἰσθάνομαι. 35 ἐπιβαίνω. 36 ἐκτρέπω. 37 ἀφίημι. 38 δείδω.

39 ἐκπίπ-

39 ἐκπίπτω. 40 ἔχω (er hielt sich fest). 41 εἰδέω. 42 soll ἐςί. 43 πίπτω. 44 die Schwestern Phaetons wurden mitten in der Trauer über seinen Tod in Pappelbäume verwandelt. 45 συμπήγνυμι. 46 καταγνύω. 47 zusammengezogen statt. ὁ ἕτερος. 48 συντρίβω. 49 μνάομαι.

5. Neptun und die Nereiden.

